ΒΑΣΙΛΕΙΟΥ ΦΑΒΗ — ΚΩΝΣΤ. ΧΑΡΑΛΑΜΠΟΠΟΥΛΟΥ

# ΕΚΛΟΓΑΙ

## ΕΞ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΔΙΑ ΤΗΝ Β' ΚΑΙ Γ' ΤΑΞΙΝ ΤΩΝ ΟΚΤΑΤΑΞΙΩΝ ΓΥΜΝΑΣΙΩΝ
ΚΑΙ ΠΕΝΤΑΤΑΞΙΩΝ ΠΡΟΓΥΜΝΑΣΙΩΝ
ΚΑΙ ΤΗΝ Γ' ΤΑΞΙΝ ΤΩΝ ΑΣΤΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΟΕΣΒ

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ
1938

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

16454

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΚΛΟΓΑΙ

## ΕΞ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΒΑΣΙΛΕΙΟΥ ΦΑΒΗ — ΚΩΝΣΤ. ΧΑΡΑΛΑΜΠΟΠΟΥΛΟΥ

# ΕΚΛΟΓΑΙ

## ΕΞ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΔΙΑ ΤΗΝ Β' ΚΑΙ Γ' ΤΑΞΙΝ ΤΩΝ ΟΚΤΑΤΑΞΙΩΝ ΓΥΜΝΑΣΙΩΝ
ΚΑΙ ΠΕΝΤΑΤΑΞΙΩΝ ΠΡΟΓΥΜΝΑΣΙΩΝ
ΚΑΙ ΤΗΝ Γ' ΤΑΞΙΝ ΤΩΝ ΑΣΤΙΚΩΝ ΣΧΟΛΕΙΩΝ

ΟΕΣΒ

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ
ΕΝ ΑΘΗΝΑΙΣ
1938

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

I

# ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Αἴσωπος ἔζησε περὶ τὸ 550 πρὸ Χριστοῦ· ἦτο δοῦλος τοῦ Ἰάδμονος τοῦ Σαμίου, ἠρέσκετο δὲ νὰ διηγῆται μικροὺς μύθους σκωπτικοὺς καὶ πειρακτικούς, τοὺς ὁποίους ἢ ἔπλαττεν ὁ ἴδιος ἢ ἤκουε παρ' ἄλλων καὶ ἀπεμνημόνευε· διὰ τοῦτο δὲ λέγονται Αἰσώπειοι μῦθοι.

Τὸ γνώρισμα τῶν Αἰσωπείων μύθων εἶναι, ὅτι δι' αὐτῶν προσωποποιοῦνται πάντα τὰ δημιουργήματα τῆς φύσεως καὶ ἐμφανίζονται ὡς λαλοῦντα καὶ τὰ ζῷα πάντα καὶ τὰ φυτὰ καὶ τὰ ἄψυχα πράγματα.

Τοιοῦτοι μῦθοι φέρονται καὶ σήμερον εἰς τὸ στόμα τοῦ Ἑλληνικοῦ λαοῦ εἴτε κατὰ συνεχῆ προφορικὴν παράδοσιν ἔκτοτε εἴτε ἐκ μεταγενεστέρας συνθέσεως αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



# I. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

## 1. Ἀλώπηξ καὶ βότρυες.

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἐπί τινος ἀναδενδράδος βότρυς κρεμαμένους, ἠβουλήθη φαγεῖν αὐτούς, ἀλλ' οὐκ ἠδύνατο. Ἀπομακρυνομένη δὲ πρὸς ἑαυτὴν ἔλεγεν· «ὄμφακές εἰσιν».

## 2. Ὄνος καὶ λεοντῆ.

Ὄνος δορὰν λέοντος ἐνδυθείς, λέων ὑπὸ πάντων ἐνομίζετο καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δέ, ἀνέμου πνεύσαντος, ἡ δορὰ περιῃρέθη, τότε δὴ πάντες, δραμόντες, ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

## 3. Λύκος καὶ λέων.

Λύκος ποτέ, ἁρπάσας πρόβατον ἐκ ποιμνίου, ἐκόμιζεν αὐτὸ εἰς τὴν κοίτην· λέων δὲ αὐτῷ συναντήσας ἀφείλετο τὸ πρόβατον. Ὁ δὲ πόρρω στὰς εἶπεν· «ἀδίκως ἀφείλου τὸ ἐμόν». Ὁ δὲ λέων γελάσας ἔφη· «σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### 4. Λαγωοὶ καὶ ἀλώπεκες.

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας· αἱ δὲ εἶπον· «ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ἐγιγνώσκομεν τίνες ἐστὲ καὶ τίσι πολεμεῖτε».

### 5. Ζεὺς καὶ ὄφις.

Τῷ Διὶ γάμους τελοῦντι, πάντα τὰ ζῷα δῶρα ἐκόμιζεν, ἕκαστον κατὰ τὴν ἑαυτοῦ δύναμιν· ὄφις δέ, ῥόδον λαβὼν ἐν τῷ στόματι, ἕρπων ἀνέβαινεν. Ἰδὼν δὲ αὐτὸν ὁ Ζεὺς εἶπε· «τῶν ἄλλων πάντων τὰ δῶρα δέχομαι, ἀπὸ δὲ τοῦ σοῦ στόματος οὐδὲν λαμβάνω».

### 6. Χελώνη καὶ λαγωός.

Χελώνη καὶ λαγωὸς περὶ ταχύτητος ἤριζον· καὶ δὴ τέρματα ὁρίσαντες ἔτρεχον. Ὁ μὲν οὖν λαγωός, διὰ τὴν ἔμφυτον ταχύτητα ἀμελήσας τοῦ δρόμου, ἐκοιμήθη· ἡ δὲ χελώνη, γιγνώσκουσα τὴν ἑαυτῆς βραδύτητα, οὐ διέλειπε τρέχουσα καὶ οὕτω, τὸν λαγωὸν κοιμώμενον παραδραμοῦσα, εἰς τὰ τέρματα προτέρα ἀφίκετο.

### 7. Ναυαγός.

Ἀνὴρ Ἀθηναῖος μεθ' ἑτέρων τινῶν ἔπλει. Καὶ δή, χειμῶνος σφοδροῦ γενομένου, ἡ ναῦς ἀνετράπη· οἱ μὲν οὖν ἄλλοι πάντες διενήχοντο, ὁ δὲ Ἀθηναῖος, τὴν Ἀθηνᾶν ἐπικαλούμενος, μυρία ἐπηγγέλλετο, εἰ περισωθείη. Τῶν νεναυαγηκότων δέ τις παρανηχόμενος εἶπε πρὸς αὐτόν· «ἀλλὰ σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει».

### 8. Πῆραι δύο.

Ἀνθρώπων ἕκαστος δύο πήρας φέρει, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, γέμει δὲ κακῶν ἑκατέρα· ἀλλ' ἡ μὲν ἔμ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσθεν ἀλλοτρίων, ἡ δὲ ὄπισθεν τῶν αὐτοῦ τοῦ φέροντος. Καὶ διὰ τοῦτο οἱ ἄνθρωποι τὰ μὲν ἑαυτῶν κακὰ οὐχ ὁρῶσι, τὰ δὲ ἀλλότρια πάνυ ἀκριβῶς θεῶνται.

### 9. Κολοιὸς καὶ γλαῦξ.

Κάλλους ἀγὼν ἦν τοῖς ὄρνισιν· ἐπί τινα δὲ ποταμὸν παραγενόμενοι ἀπενίζοντο. Κολοιὸς δέ, γιγνώσκων τὴν ἑαυτοῦ δυσμορφίαν, τὰ ἀποπίπτοντα ἀπὸ τῶν ἄλλων ὀρνίθων πτερὰ συνέλεξε καὶ ἑαυτῷ προσεκόλλησε. Συνέβη οὖν ἐκ τούτου εὐειδέστατον πάντων γενέσθαι. Γλαῦξ δέ, μόνη γνοῦσα τὸ πρᾶγμα, τὸ ἑαυτῆς πτερὸν ἀφῃρεῖτο καὶ τοὺς ἄλλους ὄρνιθας ταὐτὸν πράττειν ἀνέπειθε. Τῶν μὲν οὖν ὀρνίθων ἕκαστος ἀφείλετο τὸ ἑαυτοῦ πτερόν, «ὁ δὲ κολοιὸς ἦν πάλιν κολοιός».

### 10. Κομπαστής.

Ἀνήρ τις ἀποδημήσας καὶ πολλὰς περιελθὼν χώρας εἰς τὴν ἑαυτοῦ ἐπανῆλθεν· ἐνταῦθα δὲ ἄλλα τε πολλὰ ἐν διαφόροις χώραις ἠνδραγαθηκέναι ἐκόμπαζε, καὶ δὴ καὶ ἐν Ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς δυνατὸς ἂν εἴη πηδῆσαι· πρὸς ταῦτα δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. Τῶν δὲ ἀκουόντων τις ὑπολαβὼν ἔφη· «ἀλλ' εἰ ἀληθές τοῦτ' ἔστιν, οὐδὲν δεῖ σοι μαρτύρων· ἰδοὺ ἡ Ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα».

### 11. Κόραξ καὶ ἀλώπηξ.

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκαθέζετο. Ἀλώπηξ δέ, θεασαμένη αὐτόν, ἐβούλετο τὸ κρέας ἀφελέσθαι· στᾶσα οὖν ἐπῄνει αὐτὸν λέγουσα· «ὡς εὐμεγέθης τε καὶ καλὸς εἶ, ὦ κόραξ· σοὶ μάλιστα πρέπει τῶν ὀρνέων βασιλεύειν· καὶ τοῦτο πάντως ἂν ἐγένετο, εἰ φωνὴν εἶχες». Ὁ δέ, βουλόμενος παρα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στῆσαι αὐτῇ, ὡς καὶ φωνὴν ἔχει, βαλὼν τὸ κρέας μεγάλως ἀνέκραγεν. Ἐκείνη δὲ προσδραμοῦσα καὶ τὸ κρέας ἁρπάσασα ἔφη· «ὦ κόραξ, ἔχεις πάντα, νοῦν μόνον κτῆσαι».

### 12. Λέων καὶ ἄρκτος.

Λέων καὶ ἄρκτος, ὁμοῦ νεβρῷ περιτυχόντες, περὶ τούτου ἐμάχοντο καὶ οὐδέτερος ἐνίκα. Ἀπαυδήσαντες δὲ ἐκ τῆς πολλῆς μάχης, κατέκειντο ἐκλελυμένοι. Ἀλώπηξ δὲ περιιοῦσα, ἐπεὶ εἶδεν αὐτοὺς πεπτωκότας καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, τοῦτον ἁρπάσασα, ᾤχετο φεύγουσα. Οἱ δέ, μὴ δυνάμενοι ἀναστῆναι, εἰ καὶ ἑώρων αὐτήν, εἶπον· «δείλαιοι ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν».

### 13. Λέων καὶ μῦς.

Λέοντος κοιμωμένου εἰς τὸ στόμα μῦς εἰσῆλθεν· ὁ δέ, ἐξαναστὰς καὶ συλλαβὼν αὐτόν, ἔμελλε καταφαγεῖν. Ὁ δὲ μῦς ἐδεήθη αὐτοῦ μὴ φαγεῖν αὐτόν, λέγων ὅτι, σωθείς, ἀξίαν χάριν ἀποδώσει· γελάσας δ' ὁ λέων αὐτὸν ἀπέλυσε. Μετ' οὐ πολύ, συλληφθεὶς ὁ λέων ὑπό τινων κυνηγῶν, κάλῳ ἐδέθη ἐπί τινι δένδρῳ· τηνικαῦτα ὁ μῦς ἀκούσας αὐτοῦ στένοντος, προσελθὼν τὸν κάλων περιέτρωγε καὶ λύσας ἔφη· «σὺ μὲν οὖν τότε μου κατεγέλασας, ὡς μὴ προσδοκῶν παρ' ἐμοῦ ἀμοιβὴν κομιεῖσθαι· νῦν δὲ ἴσθι, ὅτι ἔστι καὶ παρὰ μυσὶ χάρις».

### 14. Λέων καὶ ἀλώπηξ.

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν, ἔγνω δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δή, παραγενόμενος εἴς τι σπήλαιον καὶ ἐνταῦθα κατακλιθείς, προσεποιεῖτο τὸν νοσοῦντα καὶ οὕτω τὰ προσιόντα εἰς ἐπίσκεψιν ζῷα συλ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων ἀπολομένων, ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο καὶ στᾶσα ἄπωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο αὐτοῦ «πῶς ἔχεις ;» ὁ δὲ εἶπε. «κακῶς», καὶ τὴν αἰτίαν δὲ ἤρετο, δι' ἣν οὐκ εἰσῄει· ἀλώπηξ δὲ ἔφη· «ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός».

## 15. Λέων, λύκος καὶ ἀλώπηξ.

Λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ· προσῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν ἀλώπεκος, τἆλλα ζῷα. Ὁ τοίνυν λύκος, λαβόμενος εὐκαιρίας, κατηγόρει τῆς ἀλώπεκος, ὅτι παρ' οὐδὲν τίθεται τὸν πάντων τῶν ζῴων κρατοῦντα καὶ διὰ τοῦτο μηδ' εἰς ἐπίσκεψιν ἀφίκετο. Ταῦτα τοῦ λύκου λέγοντος, προσῆλθε καὶ ἡ ἀλώπηξ καὶ τῶν τελευταίων τοῦ λύκου λόγων ἠκροάσατο.

Ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο· ἡ δ', ἀπολογίας καιρὸν αἰτήσασα, ἔφη· «καὶ τίς σε τῶν προσελθόντων ὠφέλησεν, ὅσον ἐγώ ; πανταχόσε γὰρ περινοστήσασα θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ἐζήτησα καὶ ἔμαθον». Τοῦ δὲ λέοντος τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, φησίν· «ἢν λύκον ἐκδείρῃς καὶ τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ». Καὶ τοῦ λύκου αὐτίκα νεκροῦ κειμένου, γελῶσα εἶπεν· «οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν».

## 16. Γεωργοῦ παῖδες.

Γεωργοῦ παῖδες πρὸς ἀλλήλους ἤριζον· ὁ δὲ πατήρ, καίπερ πολλὰ παραινῶν, οὐκ ἠδύνατο πεῖσαι αὐτοὺς ὁμοφρονεῖν· διὸ ἔγνω παραδείγματι πρὸς τοῦτο χρήσασθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐκέλευσεν οὖν αὐτοὺς ῥάβδων δέσμην κομίσαι. Τῶν δὲ τὸ προσταχθὲν ποιησάντων, τὸ μὲν πρῶτον ἔδωκεν αὐτοῖς ἀθρόας τὰς ῥάβδους καὶ ἐκέλευσε θραύειν· οἱ δὲ οὐκ ἠδύναντο. Ἔπειτα λύσας τὴν δέσμην ἀνὰ μίαν αὐτοῖς ῥάβδον ἐδίδου· οἱ δὲ ῥαδίως ἔθραυον αὐτάς. Τότε οὖν ἔφη ὁ πατήρ· «ἀλλὰ καὶ ὑμεῖς, ὦ παῖδες, ἐὰν μὲν ὁμοφρονῆτε, ἀχείρωτοι τοῖς ἐχθροῖς ἔσεσθε, ἐὰν δὲ ἐρίζητε ἀλλήλοις, εὐάλωτοι».

### 17. Ὁδοιπόροι καὶ πλάτανος.

Ὁδοιπόροι δύο θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος ἐτρύχοντο. Ὡς δὲ ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην ἦλθον καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀναβλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους, ὡς ἄκαρπον καὶ ἀνωφελὲς ἀνθρώποις ἐστὶ τοῦτο τὸ δένδρον. Ἡ δὲ ὑπολαβοῦσα ἔφη· «ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες ἄκαρπόν με καὶ ἀνωφελῆ ἀποκαλεῖτε ;»

### 18. Παῖς ψεύστης.

Παιδίον πρόβατα νέμον τοὺς ἀγρότας πολλάκις ἐπεκαλεῖτο λέγον· «βοηθεῖτε! ἔρχεται λύκος». Οἱ δὲ ἀγρόται τρέχοντες εὕρισκον τοῦτον οὐκ ἀληθεύοντα. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος καὶ τοῦ παιδὸς βοῶντος· «δεῦτε, λύκος!» οὐκέτι τις ἐπίστευε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος, εὑρὼν ἄδειαν, τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

### 19. Ὁδοιπόροι καὶ ἄρκτος.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο, ὁ δ' ἕτερος πεσὼν ἐπὶ τοῦ ἐδάφους ἑαυτὸν νεκρὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσεποιεῖτο. Ἐπειδὴ δὲ ἡ ἄρκτος προσήνεγκεν αὐτῷ τὸ ῥύγχος καὶ περιωσφραίνετο, τὰς ἀναπνοὰς συνεῖχε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῷον. Ἀπαλλαγείσης δὲ τῆς ἄρκτου, ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου, τί αὕτη πρὸς τὸ οὖς εἰρήκει. Ὁ δὲ εἶπε· «Τοῦ λοιποῦ τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# II

# ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Ἀπολλόδωρος ἦτο Ἀθηναῖος, ἔζησε δὲ κατὰ τὸν δεύτερον μετὰ Χριστὸν αἰῶνα καὶ ἤσκησε τὸ ἐπάγγελμα τοῦ Γραμματικοῦ.

Οἱ Γραμματικοί, οἱ ὁποῖοι ἀνεφάνησαν ἀπὸ τὴν ἐποχὴν τοῦ Μεγάλου Ἀλεξάνδρου, ἦσαν διδάσκαλοι ἀνωτέρων φιλολογικῶν μαθημάτων καὶ ὄχι γραμματικῆς μόνον, θὰ ἦτο δὲ δυνατὸν νὰ παραβληθοῦν πρὸς καθηγητὰς τῆς φιλολογίας ἐν τοῖς πανεπιστημίοις.

Τοιοῦτος ἦτο καὶ ὁ Ἀπολλόδωρος. Τὸ βιβλίον του περιέχει συνοπτικῶς τὰς μυθικὰς παραδόσεις τῶν ἀρχαίων Ἑλλήνων περὶ γενέσεως τῶν θεῶν, περὶ τῶν ἡρώων καὶ περὶ τῶν πρώτων ἀνθρώπων, ἐχρησίμευε δὲ ὡς ἀνάγνωσμα τῶν μαθητῶν ἐν τοῖς σχολείοις.

Τὸ βιβλίον τοῦτο δὲν διεσώθη ὁλόκληρον, ὠνομάσθη δὲ Β ι β λ ι ο θ ή κ η, διότι ἀπετελεῖτο τρόπον τινὰ ἀπὸ πολλὰ μικρότερα βιβλία.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



# II. ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

## Α΄. ΕΚ ΤΗΣ ΘΕΟΓΟΝΙΑΣ ΚΑΙ ΤΗΣ ΚΟΣΜΟΓΟΝΙΑΣ

### 1. Οὐρανὸς καὶ Γῆ.

1. Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου. Λαβὼν δὲ γυναῖκα Γῆν, ἐτέκνωσε πρώτους τοὺς ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην καὶ Κόττον, οἳ μεγέθει τε καὶ δυνάμει ἀνυπέρβλητοι ἐγένοντο.

2. Μετὰ τούτους δὲ τίκτει αὐτῷ ἡ Γῆ τοὺς Κύκλωπας, Ἄργην, Στερόπην καὶ Βρόντην. Ἀλλὰ τούτους μὲν Οὐρανὸς ἔδησε καὶ εἰς Τάρταρον ἔρριψε· τόπος δ' οὗτος ἐρεβώδης ἐστὶν ἐν Ἅδου, τοσοῦτον ἀπὸ γῆς ἀπέχων διάστημα, ὅσον ἀπ' οὐρανοῦ γῆ.

3. Τεκνοῖ δὲ αὖθις ἐκ Γῆς Οὐρανὸς παῖδας μὲν τοὺς Τιτᾶνας προσαγορευθέντας, Ὠκεανόν, Κοῖον, Ὑπερίονα, Κρεῖον, Ἰαπετὸν καὶ νεώτατον ἁπάντων Κρόνον· θυγατέρας δὲ τὰς κληθείσας Τιτανίδας, Τηθύν, Ῥέαν, Θέμιν, Μνημοσύνην, Φοίβην, Διώνην καὶ Θείαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 2. Κρόνος καὶ Ῥέα.

4. Ἀγανακτοῦσα δὲ Γῆ ἐπὶ τῇ ἀπωλείᾳ τῶν εἰς Τάρταρον ῥιφθέντων παίδων, πείθει τοὺς Τιτᾶνας ἐπιθέσθαι τῷ πατρί. Οἱ δὲ ἐπιτίθενται καὶ καταβάλλουσι τὸν πατέρα. Ἐκβαλόντες δὲ τοῦτον τῆς ἀρχῆς, τούς τε καταταρταρωθέντας ἀνήγαγον ἀδελφοὺς καὶ τὴν ἀρχὴν Κρόνῳ παρέδοσαν.

5. Ὁ δὲ τούτους μέν, τοὺς Κύκλωπας, ἐν τῷ Ταρτάρῳ πάλιν καθεῖρξε, τὴν δὲ ἀδελφὴν Ῥέαν γυναῖκα ἔλαβε· θεμιτὸν γὰρ ἦν. Ἐπειδὴ δὲ Γῆ τε καὶ Οὐρανὸς προέλεγον αὐτῷ ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρεθήσεσθαι, κατέπινε τὰ γεννώμενα τέκνα. Καὶ πρώτην μὲν γεννηθεῖσαν Ἑστίαν κατέπιεν, ἔπειτα Δήμητρα καὶ Ἥραν, μεθ' ἃς Πλούτωνα καὶ Ποσειδῶνα.

## 3. Γέννησις τοῦ Διός.

6. Ὀργισθεῖσα δὲ ἐπὶ τούτοις Ῥέα παραγίγνεται εἰς Κρήτην, ὅτε τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, τίκτει δὲ αὐτὸν ἐν ἄντρῳ τῆς Δίκτης. Καὶ τοῦτον δίδωσι τρέφεσθαι Κούρησι καὶ ταῖς νύμφαις Ἀδραστείᾳ τε καὶ Ἴδῃ.

7. Αὗται μὲν οὖν τὸν παῖδα ἔτρεφον τῷ τῆς Ἀμαλθείας γάλακτι, οἱ δὲ Κούρητες ἔνοπλοι ἐν τῷ ἄντρῳ τὸ βρέφος φυλάσσοντες τοῖς δόρασι τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνῆς ὁ Κρόνος ἀκούσῃ. Ῥέα δὲ λίθον σπαργανώσασα ἔδωκε καταπιεῖν ὡς τὸν γεγεννημένον παῖδα.

## 4. Ζεὺς καὶ τιτανομαχία.

8. Ἐπεὶ δὲ Ζεὺς ἐγένετο τέλειος, δίδωσι Κρόνῳ καταπιεῖν φάρμακον, ὑφ' οὗ ἐκεῖνος ἀναγκασθεὶς ἐξεμεῖ πρῶτον

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν τὸν λίθον, ἔπειτα δὲ τοὺς παῖδας, οὓς κατέπιε. Μετὰ τούτων ὁ Ζεὺς τὸν πρὸς Κρόνον καὶ Τιτᾶνας ἐξήνεγκε πόλεμον.

9. Μαχομένων δὲ αὐτῶν ἐνιαυτοὺς δέκα, ἡ Γῆ προεῖπε τῷ Διὶ νίκην, ἂν τοὺς καταταρταρωθέντας ἔχῃ συμμάχους· ὁ δὲ ἔλυσε τούτους. Κύκλωπες οὖν τότε, Διὶ μὲν διδόασι βροντὴν καὶ ἀστραπὴν καὶ κεραυνόν, Πλούτωνι δὲ κυνέην, Ποσειδῶνι δὲ τρίαιναν. Οἱ δέ, τούτοις ὁπλισθέντες, κρατοῦσι Τιτάνων καὶ καθεῖρξαν αὐτοὺς ἐν τῷ Ταρτάρῳ. Αὐτοὶ δὲ διακληροῦνται περὶ τῆς ἀρχῆς καὶ λαγχάνει Ζεὺς μὲν τὴν ἐν τῷ οὐρανῷ δυναστείαν, Ποσειδῶν δὲ τὴν ἐν τῇ θαλάσσῃ, Πλούτων δὲ τὴν ἐν Ἅδου.

## 5. Γιγαντομαχία.

10. Γῆ δέ, περὶ Τιτάνων ἀγανακτοῦσα, τίκτει Γίγαντας, ὄντας μεγέθει μὲν σωμάτων ἀνυπερβλήτους, δυνάμει δὲ ἀκαταγωνίστους. Ἠκόντιζον δ᾽ οὗτοι εἰς οὐρανὸν πέτρας καὶ δρῦς ἡμμένας. Διέφερον δὲ πάντων Πορφυρίων καὶ Ἀλκυονεύς. Τοῖς δὲ θεοῖς λόγιον ἦν, ὑπὸ θεῶν μὲν μηδένα τῶν Γιγάντων ἀπολεῖσθαι, συμμαχοῦντος δὲ θνητοῦ τινός, τελευτήσειν.

11. Ζεὺς οὖν Ἡρακλέα σύμμαχον δι᾽ Ἀθηνᾶς ἐπεκαλέσατο. Κἀκεῖνος πρῶτον μὲν ἐτόξευσεν Ἀλκυονέα, ὃς οὕτως ἐτελεύτα. Πορφυρίων δὲ Ἡρακλεῖ κατὰ τὴν μάχην ἐφώρμησε, Διὸς δὲ κεραυνώσαντος, ἐτελεύτα καὶ οὗτος. Καὶ τοὺς ἄλλους δὲ κεραυνοῖς Ζεὺς βαλὼν διέφθειρεν.

## 6. Προμηθεύς.

12. Προμηθεὺς δὲ ὁ Ἰαπετοῦ, ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσας, ἔδωκεν αὐτοῖς καὶ πῦρ λάθρᾳ Διὸς ἐν νάρθηκι κρύψας. Ὡς δὲ τοῦτο ᾔσθετο Ζεύς, ἐπέταξεν Ἡφαίστῳ ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ Καυκάσῳ ὄρει τὸ σῶμα αὐτοῦ προσηλῶσαι· τοῦτο δὲ Σκυθικὸν ὄρος ἐστίν. Ἐν δὲ τούτῳ προσηλωθεὶς Προμηθεὺς διὰ πολλῶν ἐτῶν ἐδέδετο· καθ' ἑκάστην δὲ ἡμέραν ἀετὸς ἐπιπετόμενος τοὺς λοβοὺς ἐνέμετο τοῦ ἥπατος, αὐξανομένου διὰ νυκτός.

13. Καὶ Προμηθεὺς μὲν τοῦ κλαπέντος πυρὸς δίκην ἔτινε ταύτην, μέχρις Ἡρακλῆς αὐτὸν ἔλυσεν. Προμηθέως δὲ παῖς Δευκαλίων ἐγένετο. Οὗτος, βασιλεύων τῶν περὶ τὴν Φθίαν τόπων, γυναῖκα ἄγεται Πύρραν τὴν Ἐπιμηθέως καὶ Πανδώρας, ἣν πρώτην γυναῖκα θεοὶ ἔπλασαν.

### 7. Δευκαλίων καὶ κατακλυσμός.

14. Ἐπεὶ δὲ ἀφανίσαι Ζεὺς τὸ τῶν ἀνθρώπων γένος ἠθέλησεν, ὑποθεμένου Προμηθέως, Δευκαλίων λάρνακα ἐτεκτήνατο καί, τὰ ἐπιτήδεια ἐνθέμενος, εἰς ταύτην μετὰ Πύρρας εἰσέβη.

15. Ζεὺς δέ, πολὺν ὑετὸν ἀπ' οὐρανοῦ χέας, τὰ πλεῖστα μέρη τῆς Ἑλλάδος κατέκλυσεν, ὥστε διαφθαρῆναι πάντας ἀνθρώπους. Δευκαλίων δέ, ἐν τῇ λάρνακι διὰ τοῦ ὕδατος φερόμενος ἐφ' ἡμέρας καὶ νύκτας ἐννέα, τῷ Παρνασσῷ ὄρει προσίσχει· κἀκεῖ, τῶν ὄμβρων παῦλαν λαβόντων, ἐκβὰς θύει Διὶ φυξίῳ.

16. Ζεὺς δὲ πέμψας Ἑρμῆν πρὸς αὐτὸν ἐπέτρεψεν αἱρεῖσθαι ὅ,τι βούλεται· ὁ δὲ αἱρεῖται ἀνθρώπους γενέσθαι. Καὶ Διὸς εἰπόντος, ὑπὲρ κεφαλῆς ἔβαλλον αἴροντες λίθους Δευκαλίων τε καὶ Πύρρα, καὶ οὓς μὲν ἔβαλε Δευκαλίων, ἄνδρες ἐγένοντο, οὓς δὲ Πύρρα, γυναῖκες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 8. Ἕλληνες.

17. Γίγνονται δὲ Πύρρας καὶ Δευκαλίωνος παῖδες Ἕλλην μὲν πρῶτος, δεύτερος δὲ Ἀμφικτύων, θυγάτηρ δὲ Πρωτογένεια. Ἕλληνος δὲ καὶ νύμφης Ὀρσηίδος γίγνονται Δῶρος, Ξοῦθος καὶ Αἴολος. Αὐτὸς μὲν οὖν τοὺς τέως Γραικοὺς καλουμένους Ἕλληνας ἀφ' ἑαυτοῦ προσηγόρευσε, τοῖς δὲ παισὶν ἐμέρισε τὴν χώραν· καὶ Ξοῦθος μέν, λαβὼν τὴν Πελοπόννησον, ἐκ Κρεούσης ἐγέννησεν Ἀχαιὸν καὶ Ἴωνα, ἀφ' ὧν Ἀχαιοὶ καὶ Ἴωνες καλοῦνται· Δῶρος δέ, τὴν πέραν Πελοποννήσου χώραν λαβών, τοὺς κατοίκους ἀφ' ἑαυτοῦ Δωριεῖς ἐκάλεσεν· Αἴολος δέ, βασιλεύων τῶν περὶ τὴν Θεσσαλίαν τόπων, τοὺς ἐνοικοῦντας Αἰολεῖς προσηγόρευσεν.

## 9. Ἡ Δημήτηρ ἐν Ἐλευσῖνι.

18. Πλούτων, Περσεφόνην γυναῖκα λαβεῖν βουλόμενος, ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιῄει. Μαθοῦσα δὲ παρ' Ἑρμιονέων, ὅτι Πλάτων αὐτὴν ἥρπασεν, ὠργίσθη τοῖς θεοῖς καὶ κατέλιπεν οὐρανόν· εἰκασθεῖσα δὲ γυναικί, ἧκεν εἰς Ἐλευσῖνα. Καὶ πρῶτον μὲν ἐπὶ τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον ἐκάθισε πέτραν, ἔπειτα δὲ πρὸς Κελεὸν ἦλθε, τὸν βασιλεύοντα τότε Ἐλευσινίων.

19. Ὄντος δὲ τῇ τοῦ Κελεοῦ γυναικὶ Μετανείρᾳ παιδίου, τοῦτο ἡ Δημήτηρ παραλαβοῦσα ἔτρεφε. Βουλομένη δὲ αὐτὸ ἀθάνατον ποιῆσαι, τὰς νύκτας εἰς πῦρ κατετίθει τὸ βρέφος καὶ περιῄρει τὰς θνητὰς σάρκας αὐτοῦ.

20. Καθ' ἡμέραν δὲ παραδόξως αὐξανομένου τοῦ Δημοφῶντος (τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί), ἐπετήρησεν ἡ Μετά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νειρα. Καταλαβοῦσα δὲ εἰς πῦρ ὑπὸ τῆς Δήμητρος ἐμβεβλημένον τὸ βρέφος, ἀνεβόησεν. Δι' ὅπερ τὸ μὲν βρέφος ὑπὸ τοῦ πυρὸς ἀνηλώθη, ἡ δὲ θεὰ ἑαυτὴν ἐξέφηνεν.

21. Τριπτολέμῳ δὲ τῷ πρεσβυτέρῳ τῶν Μετανείρας παίδων, δίφρον κατασκευάσασα πτηνῶν δρακόντων, τὸν πυρὸν ἔδωκεν ἡ Δημήτηρ, ᾧ τὴν ὅλην οἰκουμένην, δι' οὐρανοῦ φερόμενος, κατέσπειρεν.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



## Β΄. ΗΡΑΚΛΗΣ

### 1. Γέννησις Ἡρακλέους. Πρῶτα κατορθώματα.

1. Ἀμφιτρύωνος καὶ Ἀλκμήνης ἐγένετο Ἡρακλῆς, ὃς διὰ τὰ ὑπὲρ ἄνθρωπον ἔργα Διὸς ἐνομίζετο γενέσθαι. Ὀκταμηνιαῖος παῖς ὢν δύο δράκοντας ὑπερμεγέθεις ἐπὶ τὴν εὐνὴν αὐτοῦ ἐλθόντας, ἄγχων ἑκατέρᾳ τῶν χειρῶν, αὐτοὺς διέφθειρεν.

Αὐξηθέντα δὲ τὸν παῖδα Ἀμφιτρύων ἔπεμψεν εἰς τὰ βουκόλια· κἀκεῖ τρεφόμενος μεγέθει τε καὶ ῥώμῃ πάντων διέφερεν. Οὐκ ἠστόχει δὲ οὔτε τοξεύων οὔτε ἀκοντίζων.

Ἐδιδάχθη δὲ Ἡρακλῆς καὶ ἁρματηλατεῖν καὶ παλαίειν καὶ ὁπλομαχεῖν καὶ κιθαρῳδεῖν.

2. Ἐν δὲ τοῖς βουκολίοις ὀκτωκαιδεκαέτης ὤν, τὸν Κιθαιρώνιον ἀνεῖλε λέοντα· οὗτος γὰρ ὁρμώμενος ἀπὸ Κιθαιρῶνος τὰς Ἀμφιτρύωνος ἔφθειρε βοῦς. Τὴν δὲ δορὰν τοῦ λέοντος Ἡρακλῆς ἠμφιέσατο.

Ἀνακάμπτων δὲ ἀπὸ τῆς θήρας, Θηβαίοις ἐβοήθησε μαχομένοις κατὰ τῶν Μινυῶν, οἳ παρὰ Θηβαίων δασμὸν κατ᾽ ἔτος ἑκατὸν βοῦς ἠξίουν. Καὶ τοὺς μὲν Μινύας Ἡρακλῆς πολεμαρχῶν ἐτρέψατο, τὸν δὲ δασμὸν διπλοῦν ἠνάγκασεν αὐτοὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θηβαίοις φέρειν. Λαμβάνει δὲ Ἡρακλῆς παρὰ Κρέοντος τοῦ βασιλέως ἀριστεῖον τὴν πρεσβυτάτην θυγατέρα Μεγάραν, ἐξ ἧς αὐτῷ παῖδες ἐγένοντο τρεῖς, Θηρίμαχος, Κρεοντιάδης καὶ Δηικόων.

## 2. Μανία Ἡρακλέους.

3. Μετὰ δὲ τὴν πρὸς Μινύας μάχην συνέβη αὐτῷ μανῆναι· οὗ ἕνεκα καὶ τοὺς παῖδας, οὓς ἐκ Μεγάρας εἶχεν, εἰς πῦρ ἐνέβαλε καὶ τὴν Μεγάραν δὲ αὐτὴν ἐφόνευσε· διό, καταδικάσας ἑαυτοῦ φυγήν, εἰς Δελφοὺς παραγίγνεται καὶ πυνθάνεται τοῦ θεοῦ, ποῦ κατοικήσῃ. Ἡ δὲ Πυθία κατοικεῖν αὐτὸν εἶπεν ἐν Τίρυνθι, Εὐρυσθεῖ λατρεύοντα ἔτη δώδεκα, καὶ τοὺς ἐπιτασσομένους ἄθλους δέκα ἐπιτελεῖν· καὶ οὕτως ἔφη, τῶν ἄθλων συντελεσθέντων, ἀθάνατον αὐτὸν ἔσεσθαι.

Ταῦτα ἀκούσας Ἡρακλῆς, εἰς Τίρυνθα ἦλθε καὶ τὰ προστασσόμενα ὑπ' Εὐρυσθέως ἐτέλει.

## 3. Νεμεαῖος λέων.

4. Πρῶτον οὖν ἐπέταξεν αὐτῷ Εὐρυσθεὺς τοῦ Νεμεαίου λέοντος τὴν δορὰν κομίζειν. Εἰς Νεμέαν δὲ ἀφικόμενος καὶ τὸν λέοντα ζητήσας ἐτόξευσεν· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα, ῥόπαλον αὐτὸς ἔτεμεν, ὃ ἀνατεινόμενος ἐδίωκε. Φυγόντος δὲ τοῦ λέοντος εἰς ἀμφίστομον σπήλαιον, τὴν ἑτέραν ἀπῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ· κατασχὼν δὲ αὐτὸ καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ, ἦγχεν ἕως διέφθειρε, καὶ θέμενος ἐπὶ τῶν ὤμων εἰς Μυκήνας ἐκόμισε.

## 4. Λερναία ὕδρα.

5. Δεύτερον ἆθλον ἐπέταξεν αὐτῷ τὴν Λερναίαν ὕδραν κτεῖναι. Αὕτη δέ, ἐν τῷ τῆς Λέρνης ἕλει ἐκτραφεῖσα, ἐξέβαι-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. Εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. Ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος Ἰολάου, παρεγένετο εἰς τὴν Λέρνην. Καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν, εὑρὼν παρὰ τὰς πηγὰς τῆς Ἀμυμώνης ἐν τῷ φωλεῷ αὐτῆς, ἔβαλλε βέλεσι πεπυρωμένοις καὶ οὕτως ἠνάγκασεν αὐτὴν ἐξελθεῖν.

6. Ὁ δὲ τῷ ῥοπάλῳ τὰς κεφαλὰς κόπτων οὐδὲν ἀνύτειν ἠδύνατο· μιᾶς γὰρ κοπτομένης κεφαλῆς, δύο ἀνεφύοντο. Διὸ ἐπεκαλέσατο βοηθὸν τὸν Ἰόλαον, ὅς μέρος τι ἐμπρήσας τῆς ἐγγὺς ὕλης, τοῖς δαλοῖς ἐπέκαιεν τὰς ἀνατολὰς τῶν κεφαλῶν καὶ οὕτως ἐκώλυεν αὐτὰς ἀναφύεσθαι. Τὴν ἀθάνατον δὲ ἀποκόψας, κατώρυξε καὶ βαρεῖαν ἐπέθηκε πέτραν. Ἔπειτα δέ, τὸ σῶμα τῆς ὕδρας ἀνασχίσας, τῇ χολῇ τοὺς ὀιστοὺς ἔβαψε· ἰὸς γὰρ δεινὸς ἡ χολὴ τῆς ὕδρας ἦν. Εὐρυσθεὺς δὲ οὐ κατηρίθμησε τοῦτον τὸν ἆθλον ἐν τοῖς δέκα· οὐ γὰρ μόνος, ἀλλὰ μετὰ Ἰολάου τῆς ὕδρας περιεγένετο.

## 5. Ἡ χρυσόκερως ἔλαφος.

7. Τρίτον ἆθλον ἐπέταξεν αὐτῷ τὴν χρυσόκερων ἔλαφον εἰς Μυκήνας ζῶσαν ἐνεγκεῖν· ἦν δὲ ἡ ἔλαφος ἐν Οἰνόῃ, τῆς Ἀρτέμιδος ἱερά. Διό, βουλόμενος Ἡρακλῆς μήτε ἀνελεῖν αὐτὴν μήτε τρῶσαι, ἐδίωξεν ὅλον ἐνιαυτόν. Καμοῦσαν δὲ τὴν ἔλαφον τῇ διώξει καὶ τὸν ποταμὸν Λάδωνα διαβαίνειν μέλλουσαν συνέλαβε καί, θέμενος ἐπὶ τῶν ὤμων, ἐκόμισε ζῶσαν εἰς Μυκήνας.

## 6. Ἐρυμάνθιος κάπρος.

8. Τέταρτον ἆθλον ἐπέταξεν αὐτῷ τὸν Ἐρυμάνθιον κάπρον ζῶντα κομίζειν· ταῦτο δὲ τὸ θηρίον ἠδίκει τὴν Ψωφῖδα,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁρμώμενον ἐξ ὄρους, ὃ καλοῦσιν Ἐρύμανθον. Παραγενόμενος δὲ Ἡρακλῆς ἐπὶ τὴν τοῦ κάπρου θήραν, ἐδίωξεν αὐτὸν ἔκ τινος λόχμης εἰς χιόνα πολλὴν καὶ ἐμβροχίσας ἐκόμισεν εἰς Μυκήνας.

## 7. Ἡ κόπρος τῶν βοσκημάτων τοῦ Αὐγείου.

9. Πέμπτον ἐπέταξεν αὐτῷ ἆθλον τῶν Αὐγείου βοσκημάτων ἐν ἡμέρᾳ μιᾷ ἐκφορῆσαι τὴν κόπρον. Ἦν δὲ ὁ Αὐγείας βασιλεὺς τῆς Ἤλιδος, πολλὰς δ' εἶχε βοσκημάτων ποίμνας, αἵ, ἐν τῇ αὐτῇ αὐλῇ διὰ μακρῶν ἐτῶν σηκαζόμεναι, κόπρον ἀμύθητον ἐπεσώρευσαν. Τούτῳ προσελθὼν Ἡρακλῆς τὴν μὲν Εὐρυσθέως ἐπιταγὴν οὐκ ἐδήλωσεν, ἔφθασε δὲ ἐν μιᾷ ἡμέρᾳ τὴν κόπρον ἐκφορήσειν, εἰ δώσει αὐτῷ τὴν δεκάτην τῶν βοσκημάτων. Αὐγείας δὲ ἀπιστῶν ὑπισχνεῖται.

10. Ἡρακλῆς οὖν τῆς τε αὐλῆς τὸν θεμέλιον ἐξέβαλε καὶ τοὺς ποταμοὺς Ἀλφειὸν καὶ Πηνειὸν σύνεγγυς ῥέοντας παρωχέτευσεν· ἔκρουν δὲ δι' ἄλλης ἐξόδου ἐποίησε. Καὶ ἡ μὲν κόπρος ἐξηνέχθη τοῦ χώρου· μαθὼν δὲ Αὐγείας, ὅτι κατ' ἐπιταγὴν Εὐρυσθέως τοῦτο ἐπιτετέλεσται, τὸν μισθὸν οὐκ ἀπεδίδου. Καὶ Εὐρυσθεὺς δὲ οὐδὲ τοῦτον τὸν ἆθλον ἐν τοῖς δέκα προσεδέξατο, λέγων ἐπὶ μισθῷ πεπρᾶχθαι.

## 8. Στυμφαλίδες ὄρνιθες.

11. Ἕκτον ἐπέταξεν αὐτῷ ἆθλον τὰς Στυμφαλίδας ὄρνιθας ἐκδιῶξαι· ἦν δὲ ἐν Στυμφάλῳ, πόλει τῆς Ἀρκαδίας, Στυμφαλὶς λεγομένη λίμνη πολλῇ συνηρεφὴς ὕλῃ, ἔνθα ὄρνιθες ἐτρέφοντο μυρίαι. Ἀμηχανοῦντος οὖν Ἡρακλέους, πῶς ἐκ τῆς ὕλης τὰς ὄρνιθας ἐκβάλῃ, χαλκᾶ κρόταλα δίδωσιν αὐτῷ Ἀθη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νᾶ παρὰ Ἡφαίστου λαβοῦσα. Ταῦτα οὖν κρούων ἐπί τινος ὄρους τῇ λίμνῃ παρακειμένου τὰς ὄρνιθας ἐφόβει· αἱ δὲ τὸν δοῦπον οὐχ ὑπομένουσαι μετὰ δέους ἀνεπέτοντο, καὶ τοῦτον τὸν τρόπον Ἡρακλῆς ἐτόξευσεν αὐτάς.

### 9. Ὁ Κρὴς ταῦρος.

12. Ἕβδομον ἐπέταξεν αὐτῷ ἆθλον τὸν Κρῆτα ἀγαγεῖν ταῦρον· οὗτος δ' ἦν ὁ ὑπὸ τοῦ Ποσειδῶνος Μίνῳ ἐκ τῆς θαλάσσης ἀναδοθείς, ὅτε θύσειν Ποσειδῶνι Μίνως εἶπε τὸ φανὲν ἐκ τῆς θαλάσσης. Θεασάμενος δὲ τοῦ ταύρου τὸ κάλλος καὶ τὸ μέγεθος, τοῦτον μὲν εἰς τὰ βουκόλια ἔπεμψεν, ἄλλον δὲ ἔθυσε Ποσειδῶνι· ἐφ' οἷς ὀργισθεὶς ὁ θεὸς ἠγρίωσε τὸν ταῦρον. Ἐπὶ τοῦτον παραγενόμενος εἰς Κρήτην Ἡρακλῆς συνέλαβε καὶ πρὸς Εὐρυσθέα κομίσας ἔδειξεν, ἔπειτα δὲ εἴασεν αὐτὸν ἄφετον. Ὁ δέ, πλανηθεὶς εἰς Σπάρτην τε καὶ Ἀρκαδίαν ἅπασαν, διέβη τὸν Ἰσθμὸν καὶ εἰς Μαραθῶνα ἀφικόμενος τοὺς ἐγχωρίους διελυμαίνετο.

### 10. Αἱ Διομήδους ἵπποι.

13. Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους κομίζειν· ἦν δὲ οὗτος βασιλεὺς Βιστόνων, ἔθνους Θρᾳκικοῦ μαχιμωτάτου, εἶχε δὲ ἵππους ἀνθρωποφάγους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων καὶ βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων, ἤγαγεν αὐτὰς ἐπὶ τὴν θάλασσαν.

14. Τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων, τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ φυλάσσειν, αὐτὸς δὲ πρὸς τοὺς Βίστονας ἀγωνισάμενος τὸν μὲν Διομήδην ἀπέκτεινε, τοὺς δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λοιποὺς ἠνάγκασε φεύγειν. Καὶ τὸν μὲν Ἄβδηρον αἱ ἵπποι ἐφόνευσαν, Ἡρακλῆς δέ, κτίσας πόλιν Ἄβδηρα παρὰ τὸν τάφον αὐτοῦ, τὰς ἵππους Εὐρυσθεῖ ἐκόμισεν. Ἀφέντος δὲ αὐτὰς Εὐρυσθέως, εἰς τὸ ὄρος Ὄλυμπον ἔφυγον, ἔνθα ὑπὸ τῶν θηρίων ἀπώλοντο.

## 11. Ὁ ζωστὴρ τῆς Ἱππολύτης.

15. Ἔνατον ἆθλον Ἡρακλεῖ ἐπέταξε ζωστῆρα κομίζειν τὸν Ἱππολύτης. Αὕτη δὲ ἐβασίλευεν Ἀμαζόνων, αἳ κατῴκουν περὶ τὸν Θερμώδοντα ποταμόν· ἦσαν δὲ αἱ Ἀμαζόνες ἔθνος μέγα τὰ κατὰ πόλεμον· ἤσκουν γὰρ ἀνδρείαν. Εἶχε δὲ Ἱππολύτη τὸν Ἄρεως ζωστῆρα, σύμβολον τοῦ πρωτεύειν ἁπασῶν. Ἐπὶ τοῦτον τὸν ζωστῆρα Ἡρακλῆς ἐπέμπετο, λαβεῖν αὐτὸν ἐπιθυμούσης τῆς Εὐρυσθέως θυγατρὸς Ἀδμήτης.

16. Παραλαβὼν οὖν ἐθελοντὰς συμμάχους μιᾷ νηὶ κατέπλευσεν εἰς Θεμισκύραν. Ἐνταῦθα παραγενομένη πρὸς αὐτὸν Ἱππολύτη, καί, τίνος χάριν ἥκοι, πυθομένη, δώσειν τὸν ζωστῆρα ὑπέσχετο.

Οἰόμεναι δὲ αἱ Ἀμαζόνες, ὅτι τὴν βασιλίδα ἥρπαζον οἱ προσελθόντες ξένοι, μεθ' ὅπλων ἐπὶ τὴν ναῦν κατέθεον. Ὡς δὲ εἶδεν αὐτὰς ὡπλισμένας Ἡρακλῆς, νομίσας ἐκ δόλου τοῦτο γενέσθαι, τὴν μὲν Ἱππολύτην ἀποκτείνει καὶ τὸν ζωστῆρα ἀφαιρεῖται, τὰς δὲ λοιπὰς ἐτρέψατο. Κομίσας δὲ τὸν ζωστῆρα εἰς Μυκήνας ἔδωκεν Εὐρυσθεῖ.

## 12. Αἱ βόες τοῦ Γηρυόνου.

17. Δέκατον ἆθλον ἐπέταξεν αὐτῷ τὰς Γηρυόνου βοῦς ἐξ Ἐρυθείας κομίζειν. Ἐρύθεια δ' ἦν νῆσος Ὠκεανοῦ πλησίον κειμένη· ἐνταῦθα κατῴκει Γηρυόνης, ὃς εἶχε φοινικᾶς βοῦς· τού-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

των δὲ ἦν βουκόλος Εὐρυτίων, φύλαξ δὲ Ὄρθος, ὃς ἦν δικέφαλος. Πορευόμενος οὖν ἐπὶ τὰς Γηρυόνου βοῦς διὰ τῆς Εὐρώπης ἄγρια ζῷα πολλὰ φονεύσας, Λιβύης ἐπέβη· ἔστησε δὲ σημεῖα τῆς πορείας ἐπὶ τῶν ὅρων Εὐρώπης καὶ Λιβύης ἀντιστοίχους δύο στήλας.

18. Παραγενόμενος εἰς Ἐρύθειαν ἐν ὄρει Ἄβαντι αὐλίζεται· αἰσθόμενος δ' ὁ κύων, ἐπ' αὐτὸν ὁρμᾷ· ὁ δὲ καὶ τοῦτον τῷ ῥοπάλῳ παίει καὶ τὸν βουκόλον Εὐρυτίωνα, τῷ κυνὶ βοηθοῦντα, ἀπέκτεινε. Γηρυόνης δὲ πυθόμενος τὸ γεγονός, κατέλαβε τὸν Ἡρακλέα τὰς βοῦς ἀπάγοντα καὶ συμπλακεὶς αὐτῷ ἀπέθανεν. Ἡρακλῆς δὲ τὰς βοῦς Εὐρυσθεῖ ἐκόμισεν, ἃς οὗτος ἔθυσεν Ἥρᾳ.

## 13. Τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων.

19. Τελεσθέντων δὲ τῶν ἄθλων τούτων ἐν μηνὶ καὶ ἔτεσιν ὀκτώ, Εὐρυσθεὺς οὐ προσεδέξατο τόν τε τῶν Αὐγείου βοσκημάτων καὶ τὸν τῆς ὕδρας· διὸ ἑνδέκατον ἐπέταξεν ἆθλον, παρ' Ἑσπερίδων χρυσᾶ μῆλα κομίζειν. Ταῦτα δὲ ἦν, οὐχ ὥς τινες εἶπον ἐν Λιβύῃ, ἀλλ' ἐν Ὑπερβορείοις παρ' Ἄτλαντι· ἐφύλαττε δὲ αὐτὰ δράκων ἀθάνατος, κεφαλὰς ἔχων ἑκατόν· μετὰ τούτου δὲ Ἑσπερίδες ἐφύλαττον, Αἴγλη, Ἐρύθεια, Ἑσπερία καὶ Ἀρέθουσα. Ὡς οὖν Ἡρακλῆς εἰς Ὑπερβορείους πρὸς Ἄτλαντα ἧκεν, ἔπεισεν αὐτὸν ἐπὶ τὰ μῆλα πορεύεσθαι, αὐτὸς δὲ τὸν πόλον ἐδέξατο.

20. Ἄτλας δέ, δρεψάμενος παρ' Ἑσπερίδων τρία μῆλα, ἧκε πρὸς Ἡρακλέα· καὶ τὰ μὲν μῆλα αὐτός φησι κομιεῖν Εὐρυσθεῖ, τὸν δ' οὐρανὸν ἐκέλευσεν ἐκεῖνον ἀνέχειν ἀντ' αὐτοῦ. Ὁ δὲ Ἡρακλῆς οὐκ ἀρνεῖται μέν, ἀλλὰ δεῖται αὐτοῦ δέξα-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθαι τὸν οὐρανόν, ἕως ἂν σπεῖραν ἐπὶ τῆς κεφαλῆς ποιήσηται. Τοῦτο ἀκούσας Ἄτλας, ἐπὶ γῆς κατέθηκε τὰ μῆλα καὶ τὸν οὐρανὸν ἐδέξατο. Οὕτω δ' Ἡρακλῆς δόλῳ ἔλαβε τὰ μῆλα καὶ ἐκόμισεν Εὐρυσθεῖ.

## 14. Ὁ Κέρβερος.

21. Δωδέκατον ἆθλον ἐπέταξεν αὐτῷ Κέρβερον ἐξ Ἅδου κομίζειν. Εἶχε δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος, κατὰ δὲ τοῦ νώτου παντοίων εἶχεν ὄφεων κεφαλάς. Παραγενόμενος οὖν εἰς Ταίναρον τῆς Λακωνικῆς, οὗ τῆς εἰς Ἅδου καταβάσεως τὸ στόμιον ἦν, διὰ τούτου κατέβη.

22. Ὅτε δὲ Κέρβερον παρὰ Πλούτωνος ᾔτει, ἐπέτρεψε Πλούτων ἄγειν χωρίς, ὧν εἶχεν, ὅπλων κρατήσαντα. Ὁ δέ, εὑρὼν αὐτὸν ἐπὶ ταῖς πύλαις, συλλαμβάνει καὶ περιβαλὼν τῷ τραχήλῳ τὰς χεῖρας, οὐκ ἐπαύετο συνέχων καὶ ἄγχων τὸ θηρίον, καίπερ δακνόμενος ὑπὸ τοῦ κατὰ τὴν οὐρὰν δράκοντος, ἕως ἔπεισεν. Οὕτως οὖν συνέχων τὸν Κέρβερον ἧκεν εἰς Μυκήνας· δείξας δὲ Εὐρυσθεῖ, πάλιν ἐκόμισεν εἰς Ἅδου.

## 15. Ἡρακλῆς καὶ Δηιάνειρα.

23. Μετὰ δὲ τοὺς ἄθλους Ἡρακλῆς παραγενόμενος εἰς Καλυδῶνα τὴν Οἰνέως θυγατέρα Δηιάνειραν ἐμνηστεύετο· διαπαλαίσας δὲ ὑπὲρ τῶν γάμων αὐτῆς πρὸς Ἀχελῷον, εἰκασμένον ταύρῳ, ἀπέσπασε τὸ ἕτερον τῶν κεράτων. Καὶ τὴν μὲν Δηιάνειραν γυναῖκα ἄγεται, τὸ δὲ κέρας Ἀχελῷος ἀπολαμβάνει, δοὺς ἀντὶ τούτου τὸ τῆς Ἀμαλθείας.

Ἀμάλθεια δὲ κέρας εἶχε ταύρου· τοῦτο δὲ δύναμιν εἶχε

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοσαύτην, ὥστε βρωτὸν ἢ ποτόν, ὅπερ εὔξαιτό τις, παρέχειν ἄφθονον.

### 16. Θάνατος Ἡρακλέους.

24. Ὅτε δὲ Ἡρακλῆς ἔμελλεν ἀποθανεῖν, παραγενόμενος εἰς Οἴτην ὄρος (ἔστι δὲ τοῦτο τῶν Τραχινίων), ἐκεῖ πυρὰν ἐποίησε καὶ ἐπιβὰς αὐτῆς ἐκέλευσε τοὺς παρεστῶτας ὑφάπτειν. Μηδενὸς δὲ τοῦτο πράττειν ἐθέλοντος, Ποίας, παριὼν κατὰ ζήτησιν ποιμνίων, ὑφῆψε καὶ τὸ τόξον παρ' Ἡρακλέους δῶρον ἔλαβε. Καιομένης δὲ τῆς πυρᾶς, λέγεται νέφος γενέσθαι καὶ μετὰ βροντῆς αὐτὸν εἰς οὐρανὸν ἀναπέμψαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



## Γ΄. ΑΡΓΟΝΑΥΤΙΚΗ ΕΚΣΤΡΑΤΕΙΑ

### 1. Ἰνὼ ἐπιβουλεύει τῷ Φρίξῳ καὶ τῇ Ἕλλῃ.

1. Τῶν Αἰόλου παίδων Ἀθάμας Βοιωτίας ἐδυνάστευε. Γίγνονται δ' αὐτῷ ἐκ Νεφέλης παῖς μὲν Φρῖξος, θυγάτηρ δὲ Ἕλλη. Ἐγκαταλιπὼν δὲ Νεφέλην Ἀθάμας ἄγεται γυναῖκα τὴν Ἰνώ· ἣ ἐπιβουλεύουσα τοῖς Νεφέλης τέκνοις ἔπεισε τὰς γυναῖκας τὸν πυρὸν φρύγειν, ὃν οἱ ἑαυτῶν ἄνδρες ἔμελλον σπείρειν· αἱ δὲ κρύφα τῶν ἀνδρῶν τοῦτο ἔπραττον.

2. Γῆ δὲ πεφρυγμένους πυροὺς δεχομένη οὐκ ἐβλάστανε· διὸ πέμπων Ἀθάμας εἰς Δελφούς, ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας. Ἰνὼ δὲ τοὺς πεμφθέντας ἀνέπεισε λέγειν, ὡς εἴη κεχρησμένον παύσεσθαι τὴν ἀφορίαν, ἐὰν σφαγῇ Διὶ ὁ Φρῖξος. Τοῦτο ἀκούσας Ἀθάμας, ἀναγκαζόμενος ὑπὸ τῶν κατοίκων, ἐπὶ τῷ βωμῷ ἤγαγε Φρῖξον. Νεφέλη δὲ ἀνήρπασε τὸν υἱὸν καί, παρ' Ἑρμοῦ λαβοῦσα χρυσόμαλλον κριόν, ἔδωκεν αὐτῷ τε καὶ τῇ θυγατρί, ὑφ' οὗ δι' οὐρανοῦ ὑπὲρ γῆν καὶ θάλασσαν ἐφέροντο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 2. Φρῖξος ἀφικνεῖται εἰς Κόλχους.

3. Ὡς δὲ ἐγένοντο κατὰ τὴν μεταξὺ κειμένην θάλασσαν Σιγείου καὶ Χερρονήσου, ὤλισθεν ἡ Ἕλλη καὶ εἰς τὸν βυθὸν ἀπώλετο· ἀπ' ἐκείνης δὲ Ἑλλήσποντος ἐκλήθη ἡ θάλασσα. Φρῖξος δὲ ἦλθεν εἰς Κόλχους, ὧν Αἰήτης ἐβασίλευεν. Οὗτος αὐτὸν ὑποδέχεται καὶ μίαν τῶν θυγατέρων, Χαλκιόπην, δίδωσιν· ὁ δὲ τὸν χρυσόμαλλον κριὸν Διὶ θύει φυξίῳ, τὸ δὲ τούτου δέρας Αἰήτῃ δωρεῖται· ἐκεῖνος δ' αὐτὸ δρυῒ ἐν Ἄρεως ἄλσει περιάπτει. Φρίξου δὲ καὶ Χαλκιόπης ἐγένοντο παῖδες ἄλλοι τε καὶ Ἄργος.

## 3. Πελίας πέμπει Ἰάσονα ἐπὶ τὸ χρυσόμαλλον δέρας.

4. Τοῦτο τὸ δέρας ληψόμενος πέμπεται Ἰάσων ὁ Αἴσωνος διὰ τήνδε τὴν αἰτίαν. Τῆς Ἰωλκοῦ Πελίας ἐβασίλευεν. ᾯ μαντευομένῳ περὶ τῆς βασιλείας ἔχρησεν ὁ θεὸς τὸν μονοσάνδαλον φυλάξασθαι. Τὸ μὲν οὖν πρῶτον ἠγνόει Πελίας ὅ,τι δηλοίη ὁ χρησμός, ὕστερον δὲ αὐτὸν ἔγνω. Τελῶν γὰρ ἐπὶ τῇ θαλάσσῃ Ποσειδῶνι θυσίαν, ἄλλους τε πολλοὺς καὶ τὸν Ἰάσονα μετεπέμψατο. Ὁ δέ, κατὰ γεωργίαν ἐν τοῖς ἀγροῖς διατελῶν, ἔσπευσεν ἐπὶ τὴν θυσίαν· διαβαίνων δὲ τὸν ποταμὸν Ἄναυρον, ἐξῆλθε μονοσάνδαλος, τὸ ἕτερον ἀπολέσας ἐν τῷ ῥείθρῳ πέδιλον.

5. Θεασάμενος δ' αὐτὸν ὁ Πελίας καὶ τοῦ χρησμοῦ ἀναμνησθείς, κατέμαθε τοῦτον ὄντα, ὃν δέοι φυλάξασθαι. Προσελθὼν δὲ ἠρώτα τὸν Ἰάσονα, τί ἂν ἐποίησεν ἐξουσίαν ἔχων, εἰ λόγιον ἦν αὐτῷ πρός τινος φονευθήσεσθαι τῶν πολιτῶν. Ὁ δὲ «τὸ χρυσόμαλλον δέρας», ἔφη, «προσέταττον ἂν φέρειν». Τοῦτο Πελίας ἀκούσας, εὐθὺς ἐπὶ τὸ δέρας ἐλθεῖν ἐκέλευσεν αὐτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### 4. Ἰάσων παρασκευάζεται πρὸς ἀπόπλουν.

6. Ἐπὶ τοῦτο οὖν πεμπόμενος Ἰάσων, Ἄργον ἐπεκαλέσατο τὸν Φρίξου· κἀκεῖνος, Ἀθηνᾶς ὑποθεμένης, πεντηκόντορον ναῦν κατεσκεύασε, τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ. Ὡς δὲ ἡ ναῦς κατεσκευάσθη, ἐπυνθάνετο τοῦ θεοῦ περὶ τοῦ πλοῦ· ὁ δὲ πλεῖν ἐπέτρεψεν αὐτῷ συναθροίσαντι τοὺς ἀρίστους τῆς Ἑλλάδος. Οἱ δὲ συναθροισθέντες ἦσαν οἵδε· Ὀρφεύς, Ζήτης καὶ Κάλαϊς, Κάστωρ καὶ Πολυδεύκης, Πηλεύς, Ἡρακλῆς, Θησεύς, Ἀμφιάραος, Ἄργος καὶ ἄλλοι, ὅ,τι περ ἄνθος ἀνδραγαθίας.

### 5. Ὁ μάντις Φινεὺς ἀπαλλάσσεται τῶν Ἁρπυιῶν.

7. Οὗτοι, ναυαρχοῦντος τοῦ Ἰάσονος, ἀναχθέντες προσίσχουσι Λήμνῳ· ἀπὸ Λήμνου προσίσχουσι Μυσίᾳ. Ἐντεῦθεν ἀναχθέντες καταντῶσιν εἰς τὴν τῆς Θρᾴκης Σαλμυδησσόν, ἔνθα ᾤκει Φινεύς, μάντις τυφλός· τυφλωθῆναι δέ φασιν αὐτὸν ὑπὸ θεῶν, ὅτι προέλεγεν ἀνθρώποις τὰ μέλλοντα. Ἔπεμψαν δ' αὐτῷ καὶ τὰς Ἁρπυίας οἱ θεοί· πτερωταὶ δ' ἦσαν αὗται· ὁπότε δὲ τῷ Φινεῖ παρατιθεῖτο τράπεζα, ἐξ οὐρανοῦ καταπετόμεναι, τὰ μὲν πλείονα τῶν ἐδεσμάτων ἀνήρπαζον, ὀλίγα δὲ ὀσμῆς ἀνάπλεα κατέλειπον.

8. Βουλομένοις δὲ τοῖς Ἀργοναύταις περὶ τοῦ πλοῦ μαθεῖν, διδάξειν ἔφη, τῶν Ἁρπυιῶν αὐτὸν ἐὰν ἀπαλλάξωσιν. Οἱ δὲ παρέθεσαν αὐτῷ τράπεζαν ἐδεσμάτων πλήρη· αἱ Ἅρπυιαι δ' ἐξαίφνης σὺν βοῇ καταπετόμεναι, τὴν τροφὴν ἥρπαζον. Θεασάμενοι δὲ οἱ Βορέου παῖδες Ζήτης καὶ Κάλαϊς, ὄντες πτερωτοί, σπασάμενοι τὰ ξίφη δι' ἀέρος ἐδίωκον. Διωκομένων δὲ τῶν Ἁρπυιῶν, ἡ μὲν εἰς τὸν Τίγρητα ποταμὸν τῆς Πελοπον-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νήσου ἐμπίπτει, ἡ δὲ περὶ τὰς Στροφάδας νήσους καὶ οὕτως ἀπώλοντο.

### 6. Ἡ Ἀργὼ διαπλέει τὸν πόρον τῶν συμπληγάδων πετρῶν.

9. Ἀπαλλαγεὶς οὖν τῶν Ἁρπυιῶν ὁ Φινεὺς ἐμήνυσε τὸν πλοῦν τοῖς Ἀργοναύταις καὶ περὶ τῶν συμπληγάδων ἐδίδαξε πετρῶν· ἦσαν δὲ ὑπερμεγέθεις αὗται, συγκρουόμεναι δ' ἀλλήλαις ὑπὸ τῆς τῶν πνευμάτων βίας τὸν διὰ θαλάσσης πόρον ἀπέκλειον. Εἶπεν οὖν αὐτοῖς ἀφεῖναι πελειάδα διὰ τῶν πετρῶν καὶ ταύτην, ἐὰν μὲν ἴδωσι σωθεῖσαν, διαπλεῖν, ἐὰν δὲ ἀπολομένην, μὴ διαπλεῖν.

10. Ταῦτα ἀκούσαντες ἀνήγοντο, καὶ ὡς πλησίον ἦσαν τῶν πετρῶν, ἀφιᾶσιν ἐκ τῆς πρῴρας πελειάδα· τῆς δὲ διαπετομένης, τὰ ἄκρα τῆς οὐρᾶς ἡ σύμπτωσις τῶν πετρῶν ἀπέκοψεν. Ἀναχωρούσας οὖν ἐπιτηρήσαντες τὰς πέτρας, μετ' εἰρεσίας εὐτόνου διῆλθον, τὰ ἄκρα δὲ τῶν ἀφλάστων τῆς νεὼς περιεκόπησαν. Αἱ μὲν οὖν συμπληγάδες ἔκτοτε ἔστησαν.

### 7. Ὁ Ἰάσων βοηθούμενος ὑπὸ τῆς Μηδείας λαμβάνει τὸ δέρας.

11. Παραπλεύσαντες δὲ Θερμώδοντα, ἐπὶ Φᾶσιν ποταμὸν ἦλθον· οὗτος τῆς Κολχικῆς ἐστιν. Ὁρμισαμένων οὖν ἐνταῦθα, ἧκε πρὸς Αἰήτην Ἰάσων καί, τὰ ἐπιταχθέντα ὑπὸ Πελίου λέγων, παρεκάλει δοῦναι τὸ δέρας αὐτῷ. Ὁ δὲ δώσειν ὑπέσχετο, ἐὰν τοὺς χαλκόποδας ταύρους μόνος ζεύξῃ. Ἦσαν δὲ παρ' αὐτῷ ἄγριοι ταῦροι δύο, μεγέθει διαφέροντες, δῶρον Ἡφαίστου, οἳ χαλκοῦς μὲν εἶχον πόδας, πῦρ δὲ ἐκ στόματος ἐφύσων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

12. Τούτους τῷ Ἰάσονι ζεύξαντι ἐπέτασσε σπείρειν δράκοντος ὀδόντας. Ἀποροῦντος δὲ τοῦ Ἰάσονος, πῶς ἂν δύναιτο τοὺς ταύρους ζεῦξαι, Μήδεια, ἡ τοῦ Αἰήτου θυγάτηρ, κρύφα τοῦ πατρὸς συνεργήσειν αὐτῷ πρὸς τὴν ζεῦξιν τῶν ταύρων ἐπηγγείλατο καὶ τὸ δέρας ἐγχειριεῖν, ἐὰν ὀμόσῃ ἕξειν αὐτὴν γυναῖκα καὶ εἰς τὴν Ἑλλάδα ἀπάξειν.

13. Ὀμόσαντος δὲ τοῦ Ἰάσονος, φάρμακον δίδωσιν αὐτῷ (ἦν γὰρ φαρμακεύτρια ἡ Μήδεια), ᾧ χρισθέντα ἔφη πρὸς μίαν ἡμέραν μήτε ὑπὸ πυρὸς ἀδικήσεσθαι μήτε ὑπὸ σιδήρου. Ἐδήλωσε δ' αὐτῷ, ὅτι σπαρέντων τῶν ὀδόντων, ἐκ γῆς ἄνδρες μέλλουσιν ἀναδύεσθαι ἐπ' αὐτὸν καθωπλισμένοι· ἐπειδὰν δὲ τούτους ἀθρόους θεάσηται, ἔλεγε βάλλειν εἰς μέσον λίθους ἄπωθεν, ὅταν δὲ ἐκ τούτου μάχωνται πρὸς ἀλλήλους, τότε ἀποκτείνειν αὐτούς.

14. Ἰάσων δὲ τοῦτο ἀκούσας καὶ χρισθεὶς τῷ φαρμάκῳ, παρεγένετο εἰς τὸ τοῦ νεὼ ἄλσος, ἐμάστευσε τοὺς ταύρους καὶ αὐτούς, σὺν πολλῷ πυρὶ ὁρμήσαντας, ἔζευξε. Σπείραντος δὲ αὐτοῦ τοὺς ὀδόντας, ἀνεδύοντο ἐκ τῆς γῆς ἄνδρες ἔνοπλοι· ὁ δὲ ὅπου πλείονας ἑώρα, βάλλων ἀφανῶς λίθους, αὐτοὺς μαχομένους πρὸς ἀλλήλους ἀνῄρει.

15. Καίπερ ζευχθέντων τῶν ταύρων, Αἰήτης οὐκ ἐδίδου τὸ δέρας, ἐβούλετο δὲ τὴν Ἀργὼ καταφλέξαι καὶ ἀποκτεῖναι τοὺς πλεύσαντας. Φθάσασα δὲ Μήδεια τὸν Ἰάσονα νυκτὸς ἐπὶ τὸ δέρας ἤγαγεν· ἐνταῦθα τὸν φυλάσσοντα δράκοντα κατακοιμίσαντες τοῖς φαρμάκοις, ἔλαβον τὸ δέρας καὶ ἐπὶ τὴν Ἀργὼ παρεγένοντο. Οἱ δὲ Ἀργοναῦται νυκτὸς μετὰ ταύτης ἀνήχθησαν καὶ εἰς Ἰωλκὸν πολλὰ πλανηθέντες κατέπλευσαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

III

# ΕΚ ΤΗΣ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Αἰλιανὸς ἦτο Ῥωμαῖος τὴν ἐθνικότητα· ἐγεννήθη δὲ ἐν Πραινέστῳ τῆς μέσης Ἰταλίας. Τὴν Ἑλληνικὴν γλῶσσαν ἐξέμαθεν, ὡς ἔπραττον τότε πάντες οἱ ἐπιθυμοῦντες νὰ λάβουν ἀνωτέραν παίδευσιν Ῥωμαῖοι, καὶ ἤσκησε τὸ ἐπάγγελμα τοῦ σοφιστοῦ· ἤκμασε δὲ περὶ τὸ 225 μετὰ Χριστόν.

Οἱ σοφισταὶ καθ' ὅλην τὴν ἀρχαιότητα ἦσαν διδάσκαλοι ἀνωτέρων ἐπιστημονικῶν μαθημάτων, οἷον φυσικῶν, μαθηματικῶν, φιλολογικῶν καὶ ἰδίᾳ τῆς ῥητορικῆς· θὰ ἦτο δὲ δυνατὸν νὰ παραβληθοῦν πρὸς τοὺς σημερινοὺς καθηγητὰς τῶν πανεπιστημίων.

Τοιοῦτος ἦτο καὶ ὁ Αἰλιανός, καθηγητὴς τῆς Ἑλληνικῆς γλώσσης, διδάσκων αὐτὴν εἰς τοὺς Ῥωμαίους. Φαίνεται δὲ ὅτι τὸ βιβλίον του Ποικίλη Ἱστορία συνετάχθη ὑπ' αὐτοῦ ὡς ἀνάγνωσμα ἰδίᾳ χάριν τῶν μαθητῶν του, ἵνα χρησιμεύσῃ ὡς προπαρασκευὴ εἰς τὴν ἀνάγνωσιν κλασικῶν συγγραφέων, ὡς χρησιμεύει καὶ τὸ παρὸν βιβλίον.

Τὸ περιεχόμενον τῆς Ποικίλης Ἱστορίας, εἶναι πράγματι ποικίλον· περιέχει μικρὰ διηγημάτια περὶ ἀνθρώπων καὶ ζῴων, ὅσα θὰ ἔκαμνον ἐντύπωσιν εἰς τοὺς ἀναγνώστας καὶ θὰ ἔτερπον αὐτούς· παρέλαβε δὲ αὐτὰ ὁ Αἰλιανὸς ἀπὸ ἐκτενέστερα συγγράμματα ἄλλων συγγραφέων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



# ΙΓ'. ΕΚ ΤΗΣ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

## 1. Ἀρταξέρξης καὶ Ὠμίσης.

Ῥοιὰν μεγίστην ἐπὶ λίκνου Ὠμίσης ὁ Πέρσης τῷ βασιλεῖ Ἀρταξέρξῃ προσεκόμισε. Τὸ μέγεθος τῆς ῥοιᾶς θαυμάσας ὁ βασιλεὺς λέγει: «Ἐκ ποίου παραδείσου λαβὼν φέρεις μοι τὸ δῶρον τοῦτο;» Τοῦ δὲ εἰπόντος, ὅτι οἴκοθεν καὶ ἐκ τῆς ἑαυτοῦ περὶ τὴν γεωργίαν ἐπιμελείας, ὑπερήσθη.

Καὶ δῶρα μὲν βασιλικὰ αὐτῷ ἔπεμψεν ὁ Ἀρταξέρξης, ἐπεῖπε δέ· «Νὴ τὸν Μίθραν ὁ ἀνὴρ οὗτος δυνήσεται καὶ πόλιν ἐκ μικρᾶς μεγάλην ποιῆσαι».

## 2. Θράσυλλος ὁ Αἰξωνεύς.

Θράσυλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. Ἀπολιπὼν γὰρ τὸ ἄστυ καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, τὰ πλοῖα τὰ καταίροντα πάντα καὶ τὰ ἀπαίροντα ἑαυτοῦ ἐνόμιζεν εἶναι καὶ ἀπεγράφετο αὐτά· ὑπερέχαιρε δὲ τοῖς περισῳζομένοις καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα.

Ἐκ Σικελίας δὲ ἐπανελθὼν ὁ ἀδελφὸς αὐτοῦ, παρέδωκεν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὸν ἰατρῷ ἰάσασθαι· καὶ ἀπήλλαξεν αὐτὸν τῆς νόσου. Ἐμέμνητο δὲ πολλάκις ὁ Θράσυλλος τῆς ἐν τῇ μανίᾳ διατριβῆς καὶ ἔλεγε μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς ἀλλοτρίαις ναυσὶν ἀποσῳζομέναις.

## 3. Φερενίκη Ὀλύμπια θεᾶται.

Φερενίκη τὸν υἱὸν ἦγεν εἰς Ὀλυμπίαν ἀγωνιούμενον. Κωλυόντων δὲ αὐτὴν τῶν Ἑλλανοδικῶν τὸν ἀγῶνα θεάσασθαι, παρελθοῦσα ἐδικαιολογήσατο, πατέρα μὲν Ὀλυμπιονίκην ἔχειν καὶ τρεῖς ἀδελφοὺς Ὀλυμπιονίκας, αὐτὴ δὲ παῖδα Ὀλυμπίων ἀγωνιστήν. Ταῦτα εἰποῦσα ἐξενίκησε τὸν νόμον, ὃς εἶργε τῆς θέας τὰς γυναῖκας καὶ ἐθεάσατο Ὀλύμπια ἡ Φερενίκη.

## 4. Οἱ τῶν Ἑλλήνων ἄριστοι.

Οἱ τῶν Ἑλλήνων ἄριστοι ἐν πενίᾳ διέζων παρὰ πάντα τὸν βίον· οἷον Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ πολλὰ μὲν ἐν πολέμῳ κατορθώσας καὶ τοὺς φόρους τοῖς Ἕλλησι τάξας. Ἀλλ' οὗτός γε ὁ τοιοῦτος οὐδ' ἐντάφια ἑαυτῷ κατέλιπεν ἱκανά.

Καὶ Φωκίων δὲ πένης ἦν. Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατόν, ἠρώτα· «διὰ τίνα αἰτίαν ἐμοὶ δίδωσιν ;» Ὡς δ' εἶπον, ὅτι μόνον αὐτὸν ἡγεῖται Ἀθηναίων καλὸν κἀγαθόν· «οὐκοῦν», ἔφη, «ἐασάτω με τοιοῦτον εἶναι».

Καὶ Ἐπαμεινώνδας ὁ Πολύμνιδος πένης ἦν. Δανεισάμενος γὰρ παρά τινος τῶν πολιτῶν πεντήκοντα δραχμάς, ἐφόδιον, εἰς Πελοπόννησον ἐστράτευσεν.

## 5. Αἱ Λακεδαιμονίων μητέρες.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀφικνοῦντο εἰς τὸ στρατόπεδον καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν καὶ τὰ ὄπισθεν.

Καὶ εἰ μὲν πλείω ἦν τὰ ἔμπροσθεν, αὗται γαυρούμεναι καὶ σεμνὸν ὁρῶσαι τοὺς παῖδας εἰς τοὺς πατρῴους ἔφερον τάφους. Εἰ δὲ ἄλλως εἶχε τὰ τραύματα, τότε δὴ αἰδούμεναι καὶ θρηνοῦσαι ἢ κατέλειπον τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι ἢ λάθρᾳ εἰς τοὺς οἰκείους τάφους ἐκόμιζον αὐτούς.

### 6. Κρητῶν νόμος.

Κρῆτες τοὺς παῖδας μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἔκ τε τῆς μουσικῆς ψυχαγωγῶνται καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ διαλαμβάνωσι. Δεύτερον δὲ μάθημα ἔταξαν τοὺς τῶν θεῶν ὕμνους μανθάνειν. Τρίτον δὲ τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

### 7. Λακωνικοὶ νόμοι.

Νόμος ἐστὶ τοῖς Σπαρτιάταις τὸν παρασχόμενον υἱοὺς τρεῖς, ἀτέλειαν ἔχειν στρατείας, τὸν δὲ τέσσαρας, πασῶν τῶν λειτουργιῶν ἀφεῖσθαι.

Ἔτι δὲ οὐκ ἐξῆν ἀνδρὶ Λάκωνι οὐδὲ σκυλεῦσαι τὸν πολέμιον. Οἱ δὲ καλῶς ἀγωνισάμενοι καὶ ἀποθανόντες θαλλοῖς ἐστεφανοῦντο καὶ δι' ἐπαίνων ἤγοντο πρὸς ταφήν· οἱ δὲ τελείως ἀριστεύσαντες καὶ φοινικίδος αὐτοῖς ἐπιβληθείσης ἐθάπτοντο.

### 8. Νόμος Ἀττικός.

Νόμος οὗτος Ἀττικός: Ὃς ἂν ἀτάφῳ περιτύχῃ σώματι ἀνθρώπου, πάντως ἐπιβάλλειν αὐτῷ γῆν· θάπτειν δὲ τοὺς νεκροὺς πρὸς δυσμὰς βλέποντας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ τοῦτο δὲ ἦν φυλαττόμενον παρὰ τοῖς Ἀθηναίοις: Βοῦν ἀρότην καὶ ὑπὸ ζυγὸν πονήσαντα, μηδὲ τοῦτον θύειν· ὅτι καὶ οὗτος εἴη ἂν γεωργὸς καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

### 9. Αἰνείου εὐσέβεια.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτίραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, τοῦτο ἐκήρυξαν· ἕκαστον τῶν ἐλευθέρων, ἕν ὅ,τι βούλοιτο τῶν ἑαυτοῦ κτημάτων λαβόντα, ἀπιέναι.

Ὁ οὖν Αἰνείας τῶν μὲν ἄλλων πάντων ἠμέλησε, τοὺς πατρῴους δὲ θεοὺς ἔλαβε καὶ τούτους βαστάζων ἀπεχώρει. Ἡσθέντες δὲ ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἀχαιοὶ καὶ δεύτερον αὐτῷ κτῆμα λαβεῖν συνεχώρησαν. Ὁ δέ, τὸν πατέρα σφόδρα γεγηρακότα ἀναθέμενος τοῖς ὤμοις, ἐκόμιζεν.

Ὑπερεκπλαγέντες οὖν ἐπὶ τούτῳ οἱ Ἀχαιοί, πάντα αὐτῷ τὰ οἰκεῖα κτήματα συνεχώρησαν λαβεῖν, ἀποδεικνύοντες οὕτως, ὅτι πρὸς τοὺς εὐσεβεῖς καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίγνονται.

### 10. Τίτορμος καὶ Μίλων.

Τιτόρμῳ τῷ βουκόλῳ περιέτυχεν ἐν Αἰτωλίᾳ ὁ Κροτωνιάτης Μίλων, μέγα φρονῶν διὰ τὴν ῥώμην τοῦ σώματος. Θεασάμενος οὖν τὸν Τίτορμον μέγαν τὸ σῶμα, ἐβούλετο λαβεῖν πεῖραν τῆς ἰσχύος αὐτοῦ.

Ὁ δὲ Τίτορμος ἔλεγεν, οὐδὲν μέγα ἰσχύειν. Καταβὰς δ' ὅμως εἰς τὸν Εὔηνον, λίθον λαμβάνει μέγιστον καὶ πρῶτον μὲν ἕλκει πρὸς ἑαυτόν, ἔπειτα δὲ ἀπωθεῖ· δὶς ἢ τρὶς τοῦτο ἐποίησε. Μετὰ ταῦτα ἦρε τὸν λίθον μέχρι τῶν γονάτων, καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέλος ἐπὶ τῶν ὤμων ἔφερεν. Ὁ δὲ Κροτωνιάτης Μίλων μόλις τὸν λίθον ἐκίνησεν.

Καὶ δεύτερος ἆθλος Τιτόρμου ὅδε : Ἐπὶ τὴν ἀγέλην ἐπανῆλθε, καὶ στὰς ἐν τῷ μέσῳ αὐτῆς, τὸν μέγιστον ταῦρον, ἄγριον ὄντα, λαμβάνει τοῦ ποδός· καὶ ὁ μὲν ἀποδρᾶναι ἐπειρᾶτο, οὐ μὴν ἐδύνατο. Πλησιάσαντα δὲ ἕτερον ταῦρον, καὶ τοῦτον τῇ ἑτέρᾳ χειρὶ ἁρπάσας τοῦ ποδός, ὁμοίως κατεῖχε.

Θεασάμενος δὲ ὁ Μίλων, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἔτεινε καὶ εἶπεν : «Ὦ Ζεῦ, ἄλλον Ἡρακλῆ τοῦτον ἡμῖν ἔπεμψας !»





Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## IV

# ΕΚ ΤΩΝ
# ΛΟΥΚΙΑΝΟΥ ΝΕΚΡΙΚΩΝ ΔΙΑΛΟΓΩΝ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὁ Λουκιανὸς ἔζησε τὸν δεύτερον αἰῶνα μετὰ Χριστόν, κατήγετο δὲ ἀπὸ τὰ Σαμόσατα, πόλιν τῆς Συρίας παρὰ τὸν Εὐφράτην ποταμόν. Ὡς πρὸς τὴν ἐθνικότητα λέγεται, ὅτι ἦτο Σύρος· ὑποστηρίζεται δ᾽ ὅμως καὶ ἡ γνώμη, ὅτι ἦτο Ἕλλην, καταγόμενος ἐξ Ἑλλήνων ἀποίκων, οἱ ὁποῖοι κατὰ τὴν Ἀλεξανδρεωτικὴν ἐποχὴν εἶχον διασπαρῇ καθ᾽ ὅλην τὴν Ἀνατολὴν μέχρι τοῦ Ἰνδοῦ ποταμοῦ.

Ὁ Λουκιανὸς ἦτο εὐφυέστατος καὶ τὴν εὐφυΐαν του ἔδειξεν εὐθὺς κατὰ τὴν παιδικήν του ἡλικίαν, ὁπότε ἠσκήθη εἰς ἐργαστήριον ἀγαλματοποιοῦ. Ἀλλ᾽ ἡ γλυπτικὴ δὲν ἱκανοποίει τὸν ἔμφυτον πόθον του πρὸς ἀνωτέραν παίδευσιν φιλοσοφικὴν καὶ ῥητορικήν· διὸ νεώτατος ἐγκατέλειψε τὸ ἐργαστήριον καὶ κατέγινεν εἰς τὴν ἐκμάθησιν τῆς Ἑλληνικῆς γλώσσης, ἀκολούθως δὲ ἐφοίτησεν εἰς σχολὴν ῥητορικήν. Μετὰ τὸ πέρας τῶν σπουδῶν του ἤσκησε τὸ ἐπάγγελμα τοῦ δικηγόρου κατ᾽ ἀρχάς, ἔπειτα δὲ διέπρεψεν ὡς ῥήτωρ καὶ ὡς συγγραφεύς.

Τὰ συγγράμματα τοῦ Λουκιανοῦ εἶναι φιλοσοφικοῦ περιεχομένου, τὰ περισσότερα δὲ εἶναι συντεθειμένα ὑπὸ μορφὴν διαλόγου. Ὁ δὲ λόγος του εἶναι κομψός, εὐπαρακολούθητος καὶ πνευματώδης.

Μεταξὺ τῶν συγγραμμάτων αὐτοῦ εἶναι καὶ οἱ λεγόμενοι Νεκρικοὶ διάλογοι. Οὗτοι συνετέθησαν ἐπὶ τῇ βάσει τῶν Ἑλληνικῶν παραδόσεων περὶ τοῦ Ἅδου καὶ τῆς μετὰ θάνατον καταστάσεως· εἶναι δὲ πλήρεις χαριεντισμῶν καὶ σκωμμάτων εὐγενικῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



# IV. ΕΚ ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ ΝΕΚΡΙΚΩΝ ΔΙΑΛΟΓΩΝ

## 1. Ἑρμοῦ καὶ Χάρωνος.

ΕΡΜ. Λογισώμεθα, ὦ πορθμεῦ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμεν περὶ αὐτοῦ.

ΧΑΡ. Λογισώμεθα, ὦ Ἑρμῆ.

ΕΡΜ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν.

ΧΑΡ. Πολλοῦ λέγεις.

ΕΡΜ. Νὴ τὸν Ἀιδωνέα, τῶν πέντε ἐπριάμην· καὶ τροπωτῆρα δύο ὀβολῶν.

ΧΑΡ. Τίθει πέντε δραχμὰς καὶ ὀβολοὺς δύο.

ΕΡΜ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου· πέντε ὀβολοὺς ἐγὼ κατέβαλον.

ΧΑΡ. Καὶ τούτους προστίθει.

ΕΡΜ. Καὶ κηρὸν ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα καὶ ἥλους δὲ καὶ καλῴδιον· δύο δραχμῶν ἅπαντα.

ΧΑΡ. Καὶ ἄξια ταῦτα ἐπρίω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΡΜ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. Πότε δ' οὖν ταῦτα ἀποδώσειν φής ;

ΧΑΡ. Νῦν μέν, ὦ Ἑρμῆ, ἀδύνατον, ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς, ἐνέσται τότε ἀποκερδᾶναι παραλογιζόμενον τὰ πορθμεῖα.

ΕΡΜ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολάβοιμι ;

ΧΑΡ. Οὐκ ἔστιν ἄλλως, ὦ Ἑρμῆ. Νῦν δὲ ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν· εἰρήνη γάρ.

ΕΡΜ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα.

## 2. Διογένους καὶ Πολυδεύκους.

ΔΙΟΓ. Ὦ Πολύδευκες, ἐντέλλομαί σοι, ἐπειδὰν τάχιστα ἀνέλθῃς—σοῦ γάρ ἐστιν, οἶμαι, ἀναβιῶναι αὔριον—ἤν που ἴδῃς Μένιππον τὸν κύνα,—εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον ἢ ἐν τῷ Λυκείῳ τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα, — εἰπεῖν πρὸς αὐτὸν τάδε : «Ὦ Μένιππε, κελεύει σοι ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ἐπὶ τῆς γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλεῖον ἐπιγελασόμενον· ἐνταῦθα γὰρ οὐ παύσῃ γελῶν, καθάπερ ἐγὼ νῦν, καὶ μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους καὶ σατράπας καὶ τυράννους, οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγιγνωσκομένους».

Ταῦτα λέγε αὐτῷ καὶ προσέτι, ἐμπλησάμενον τὴν πήραν ἥκειν θέρμων τε πολλῶν καὶ εἴ που εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον ἤ τι τοιοῦτον.

ΠΟΛ. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες. Ὅπως δὲ εἰδῶ μάλιστα, ποῖός τίς ἐστι τὴν ὄψιν ;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΔΙΟΓ. Γέρων, φαλακρός, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, γελᾷ δ' ἀεὶ καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει.

ΠΟΛ. Ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων.

ΔΙΟΓ. Βούλει καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς φιλοσόφους ;

ΠΟΛ. Λέγε· οὐ βαρὺ γὰρ τοῦτο.

ΔΙΟΓ. Τὸ ὅλον παύσασθαι αὐτοῖς παρεγγύα λυροῦσι καὶ περὶ τῶν ὅλων ἐρίζουσιν.

ΠΟΛ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναι φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν.

ΔΙΟΓ. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε.

ΠΟΛ. Καὶ ταῦτα, ὦ Διόγενες, ἀπαγγελῶ.

ΔΙΟΓ. Τοῖς πλουσίοις δέ, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελλε ταῦτα παρ' ἡμῶν: «Τί, ὦ μακάριοι, τὸν χρυσὸν φυλάττετε ; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς λογιζόμενοι τοὺς τόκους καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας ἥκειν μετ' ὀλίγον ;»

ΠΟΛ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους.

ΔΙΟΓ. Ἀλλὰ καὶ τοῖς καλοῖς καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη οὔτε τὰ χαροπὰ ἢ μελανὰ ὄμματα ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν ἢ νεῦρα εὔτονα ἢ ὦμοι καρτεροί, ἀλλὰ πάντα μία ἡμῖν κόνις, φασί, κρανία γυμνὰ τοῦ κάλλους.

ΠΟΛ. Οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς.

ΔΙΟΓ. Καὶ τοῖς πένησιν, ὦ Λάκων,—πολλοὶ δ' εἰσὶ καὶ ἀχθόμενοι τῷ πράγματι καὶ οἰκτίροντες τὴν ἀπορίαν—λέγε μήτε δακρύειν, μήτε οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σοτιμίαν, καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν. καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς ταῦτα, εἰ δοκεῖ, παρ᾽ ἐμοῦ ἐπιτίμησον λέγων ἐκλελύσθαι αὐτούς.

ΠΟΛ. Μηδέν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε· οὐ γὰρ ἀνέξομαί γε. Ἃ δὲ πρὸς τοὺς ἄλλους ἔφησθα, ἀπαγγελῶ.

ΔΙΟΓ. Ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ· σὺ δέ, οἷς προεῖπον, ἀπένεγκε παρ᾽ ἐμοῦ τοὺς λόγους.

## 3. Χάρωνος καὶ Μενίππου.

ΧΑΡ. Ἀπόδος, ὦ κατάρατε, τὰ πορθμεῖα!

ΜΕΝ. Βόα, εἰ τοῦτό σοι, ὦ Χάρων, ἥδιον.

ΧΑΡ. Ἀπόδος, φημί, ἀνθ᾽ ὧν σε διεπορθμεύσαμεν.

ΜΕΝ. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος.

ΧΑΡ. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων;

ΜΕΝ. Εἰ μὲν καὶ ἄλλος τις οὐκ οἶδα, ἐγὼ δὲ οὐκ ἔχω.

ΧΑΡ. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα, ὦ μιαρέ, ἢν μὴ ἀποδῷς.

ΜΕΝ. Κἀγὼ τῷ ξύλῳ σου πατάξας διαλύσω τὸ κρανίον.

ΧΑΡ. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν;

ΜΕΝ. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι.

ΕΡΜ. Νὴ Δί᾽ ὠνάμην γε, εἰ μέλλω καὶ ὑπερεκτίνειν τῶν νεκρῶν.

ΧΑΡ. Οὐκ ἀποστήσομαί σου.

ΜΕΝ. Τούτου γε ἕνεκα καὶ νεωλκήσας τὸ πορθμεῖον παράμενε· πλὴν ἀλλ᾽ ὅ γε μὴ ἔχω, πῶς ἂν λάβοις;

ΧΑΡ. Σὺ δ᾽ οὐκ ᾔδεις ὡς κομίζεσθαι δέον;

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΜΕΝ. Ἤδειν μέν, οὐκ εἶχον δέ. Τί οὖν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν ;

ΧΑΡ. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι ;

ΜΕΝ. Οὐ προῖκα, ὦ βέλτιστε· καὶ γὰρ ἤντλησα καὶ τῆς κώπης συνεπελαβόμην καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν.

ΧΑΡ. Οὐδὲν ταῦτα πρὸς πορθμέα· τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ· οὐ θέμις ἄλλως γενέσθαι.

ΜΕΝ. Οὐκοῦν ἄπαγέ με αὖθις εἰς τὸν βίον.

ΧΑΡ. Χαρίεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω.

ΜΕΝ. Μὴ ἐνόχλει οὖν.

ΧΑΡ. Δεῖξον, τί ἐν τῇ πήρᾳ ἔχεις.

ΜΕΝ. Θέρμους, εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον.

ΧΑΡ. Πόθεν τοῦτον ἡμῖν, ὦ Ἑρμῆ, τὸν κύνα ἤγαγες ; Οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν καὶ ἐπισκώπτων καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων.

ΕΡΜ. Ἀγνοεῖς, ὦ Χάρων, ὅντινα ἄνδρα διεπόρθμευσας; Ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. Οὗτός ἐστιν ὁ Μένιππος.

ΧΑΡ. Καὶ μὴν ἄν σε λάβω ποτέ...

ΜΕΝ. Ἂν λάβῃς, ὦ βέλτιστε· δὶς δὲ οὐκ ἂν λάβοις.

## 4. Μενίππου καὶ Ἑρμοῦ.

ΜΕΝ. Ποῦ δὲ οἱ καλοί εἰσιν ἢ αἱ καλαί, ὦ Ἑρμῆ ; Ξενάγησόν με νέηλυν ὄντα.

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε· πλὴν κατ' ἐκεῖνο ἀπόβλεψον, ἐπὶ τὰ δεξιά, ἔνθα ὁ Ὑάκινθός τέ ἐστι καὶ Νάρκισ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σος καὶ Νιρεὺς καὶ Ἀχιλλεὺς καὶ Τυρὼ καὶ Ἑλένη καὶ Λήδα καὶ ὅλως τὰ ἀρχαῖα πάντα κάλλη.

ΜΕΝ. Ὀστᾶ μόνον ὁρῶ καὶ κρανία τῶν σαρκῶν γυμνά, ὅμοια τὰ πολλά.

ΕΡΜ. Καὶ μὴν ἐκεῖνά ἐστιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν.

ΜΕΝ. Ὅμως τὴν Ἑλένην μοι δεῖξον· οὐ γὰρ ἂν διαγνοίην ἔγωγε.

ΕΡΜ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν.

ΜΕΝ. Εἶτα διὰ τοῦτο αἱ χίλιαι νῆες ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν ;

ΕΡΜ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι. Ἀλλὰ σὺ μὲν ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς κεῖσο, ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μέτειμι.

## 5. Νιρέως καὶ Θερσίτου καὶ Μενίππου.

ΝΙΡ. Ἰδοὺ δή, Μένιππος οὑτοσὶ ἡμᾶς δικάσει, πότερος εὐμορφότερός ἐστιν. Εἰπέ, ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ ;

ΜΕΝ. Τίνες δὲ ἐστέ ; πρότερον γάρ, οἶμαι, χρὴ τοῦτο εἰδέναι.

ΝΙΡ. Νιρεὺς καὶ Θερσίτης.

ΜΕΝ. Πότερος οὖν ὁ Νιρεὺς καὶ πότερος ὁ Θερσίτης ; οὐδαμῶς γὰρ τοῦτο δῆλον.

ΘΕΡΣ. Ἓν μὲν ἤδη τοῦτο ἔχω, ὅτι ὅμοιός εἰμί σοι καὶ οὐ τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότατον προσειπών, ἀλλ' ὁ φοξὸς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐγὼ καὶ ψεδνὸς οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. Ὅρα δὲ σύ, ὦ Μένιππε, ὅντινα καὶ εὐμορφότερον ἡγῇ.

ΝΙΡ. Ἐμέ γε τὸν Ἀγλαΐας καὶ Χάροπος,
ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

ΜΕΝ. Ἀλλ' οὐχὶ καὶ ὑπὸ γῆν, ὡς οἶμαι, κάλλιστος ἦλθες· ἀλλὰ τὰ μὲν ὀστᾶ ὅμοια, τὸ δὲ κρανίον ταύτῃ μόνον διακρίνεται ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν· ἀλαπαδνὸν γὰρ αὐτὸ καὶ οὐκ ἀνδρῶδες ἔχεις.

ΝΙΡ. Καὶ μὴν ἐροῦ Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεστράτευον τοῖς Ἀχαιοῖς.

ΜΕΝ. Ὀνείρατά μοι λέγεις· ἐγὼ δὲ βλέπω, ἃ νῦν ἔχεις, ἐκεῖνα δὲ οἱ τότε ἴσασιν.

ΝΙΡ. Οὔκουν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι, ὦ Μένιππε;

ΜΕΝ. Οὔτε σὺ οὔτε ἄλλος εὔμορφος· ἰσοτιμία γὰρ ἐν Ἅδου καὶ ὅμοιοι ἅπαντες.

ΘΕΡΣ. Ἐμοὶ μὲν οὖν καὶ τοῦτο ἱκανόν.

## 6. Κατὰ Μενίππου.

ΚΡΟΙΣΟΣ. Οὐ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα· ὥστε ἢ ἐκεῖνον ἄλλοσέ ποι κατάστησον ἢ ἡμεῖς μετοικήσομεν εἰς ἕτερον τόπον.

ΠΛΟΥΤΩΝ. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν;

ΚΡΟΙΣ. Ἐπειδὰν ἡμεῖς οἰμώζωμεν καὶ στένωμεν ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ Κροῖσος τῶν θησαυρῶν, ἐπιγελᾷ καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν, ἐνίοτε δὲ καὶ ᾄδων ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς καὶ ὅλως λυπηρός ἐστιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΠΛΟΥΤ. Τί ταῦτά φασιν, ὦ Μένιππε;

ΜΕΝΙΠΠΟΣ. Ἀληθῆ, ὦ Πλούτων· μισῶ γὰρ αὐτοὺς δειλοὺς καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται τῶν ἄνω· χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς.

ΠΛΟΥΤ. Ἀλλ' οὐ χρή· λυποῦνται γὰρ οὐ μικρῶν στερόμενοι.

ΜΕΝ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς ;

ΠΛΟΥΤ. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθέλοιμι στασιάζειν ὑμᾶς.

ΜΕΝ. Καὶ μήν, ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσσυρίων, οὕτω γιγνώσκετε ὡς οὐδὲν παυσομένου μου· ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ καταγελῶν.

ΚΡΟΙΣ. Ταῦτα οὐχ ὕβρις;

ΜΕΝ. Οὔκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, τοῦ δὲ θανάτου τὸ παράπαν οὐ μνημονεύοντες· τοιγαροῦν οἰμώξεσθε πάντων ἐκείνων ἀφῃρημένοι.

ΚΡΟΙΣ. Πολλῶν γε, ὦ θεοί, καὶ μεγάλων κτημάτων.

ΜΙΔΑΣ. Ὅσου μὲν ἐγὼ χρυσοῦ !

ΣΑΡΔΑΝ. Ὅσης ἐγὼ τρυφῆς !

ΜΕΝ. Εὖ γε, οὕτω ποιεῖτε· ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ τὸ γ ν ῶ θ ι σ α υ τ ὸ ν πολλάκις συνείρων ἐπᾴσομαι ὑμῖν· πρέπει γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΕΡΜΗΝΕΥΤΙΚΑΙ ΣΗΜΕΙΩΣΕΙΣ

## I. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

### 1. Ἀλώπηξ καὶ βότρυες.

**λιμώττουσα·** *λιμώττω* = πεινῶ πολύ.
**ἐθεάσατο·** *ἐθεασάμην, θεῶμαι (-άομαι)* = παρατηρῶ.
**ἀναδενδρὰς** ἡ = κληματαριά.
**βότρυς** -υος = σταφύλι.
**ὄμφαξ** ὁ -ακος = ἄγουρος κοιν. ἀγουρίδα.

### 2. Ὄνος καὶ λεοντῆ.

**φυγὴ ἦν ἀνθρώπων** = ἔφευγον οἱ ἄνθρωποι.
**περιῃρέθην·** *περιαιροῦμαι (-έομαι)* = ἀφαιροῦμαι, πίπτω.
**παίω** = κτυπῶ.

### 3. Λύκος καὶ λέων.

**κοίτη** = φωλεὰ (ὅπου κοιμᾶται κάποιος).
**ἀφείλετο·** *ἀφειλόμην*, ἀόρ. τοῦ *ἀφαιροῦμαι* = ἀφαιρῶ.
**πόρρω** = μακράν.

### 4. Λαγωοὶ καὶ ἀλώπεκες.

**παρεκάλουν·** *παρακαλῶ (-έω)* = προσκαλῶ.
**ἐβοηθήσαμεν ἂν ὑμῖν** = θὰ σᾶς ἐβοηθούσαμεν.

### 5. Ζεὺς καὶ ὄφις.

**Διὶ γάμους τελοῦντι** = ὅταν ἔκαμνε τοὺς γάμους του ὁ Ζεύς.
**ἕρπω** = σύρομαι.
**ἀνέβαινεν·** δηλ. εἰς τὰ ἀνάκτορα τοῦ Διός.



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### 6. Χελώνη καὶ λαγωός.

**ἤριζον·** *ἐρίζω* = φιλονικῶ.
**τέρματα ὁρίσαντες** = ἀφοῦ ἔβαλαν σημάδι.
**ἠμέλησε τοῦ δρόμου** = παρημέλησε ἀπὸ τοῦ νὰ τρέχῃ.
**οὐ διέλειπε τρέχουσα** = δὲν ἔπαυσε νὰ τρέχῃ.
**παραδραμοῦσα·** *παρέδραμον* ἀόρ. τοῦ *παρατρέχω* = ξεπερνῶ.
**προτέρα** = πρώτη.
**ἀφικόμην·** ἀόρ. τοῦ *ἀφικνοῦμαι (-έομαι)* = ἔρχομαι, φθάνω.

### 7. Ναυαγός.

**ἔπλει·** *ἔπλεον, πλέω* = ταξιδεύω (διὰ θαλάσσης).
**χειμὼν** = τρικυμία.
**ἀνετράπην·** ἀόρ. τοῦ *ἀνατρέπομαι* = ἀναποδογυρίζω.
**ἐπικαλοῦμαι τὴν Ἀθηνᾶν** = ζητῶ τὴν βοήθειαν τῆς Ἀθηνᾶς.
**ἐπηγγελλόμην·** *ἐπαγγέλλομαι* = ὑπόσχομαι.
**περισωθείη·** *περιεσώθην, περισῴζομαι* = σῴζομαι.
**παρανήχομαι** = κολυμβῶ πλησίον που.

### 8. Πῆραι δύο.

**πήρα** = σάκκος, σακκοῦλι.
**γέμω** = εἶμαι γεμᾶτος.
**ἀλλότριος** = ξένος· *ἀλλοτρίων*, ἐνν. *γέμει*.

### 9. Κολοιὸς καὶ γλαῦξ.

**κάλλους ἀγὼν** = διαγωνισμὸς ὡραιότητος.
**παραγενόμενοι·** *παρεγενόμην, παραγίγνομαι* = ἔρχομαι.
**ἀπονίζομαι** = νίπτομαι.
**δυσμορφία** = ἀσχημία.
**ἐκ τούτου** = ἕνεκα τούτου.
**γνοῦσα·** μετοχ. τοῦ *ἔγνων*, ἀόρ. τοῦ *γιγνώσκω* = ἐννοῶ.
**ἀναπείθω** = συμβουλεύω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 10. Κομπαστής.

**ἀποδημήσας·** *ἀποδημῶ* = φεύγω ἀπὸ τὴν πατρίδα, πηγαίνω ταξίδι.
**εἰς τὴν ἑαυτοῦ·** *εἰς τὴν ἑαυτοῦ γῆν* = εἰς τὴν πατρίδα του.
**ἠνδραγάθηκα·** *ἀνδραγαθῶ ( -έω )* = κάμνω κατορθώματα.
**κομπάζω** = καυχῶμαι.
**ὑπολαβών·** *ὑπέλαβον*, ἀόρ. τοῦ *ὑπολαμβάνω* = διακόπτω.

## 11. Κόραξ καὶ ἀλώπηξ.

**ἐκαθεζόμην** = ἐκάθισα, *καθέζομαι* = κάθημαι.
**ἀφελέσθαι·** *ἀφειλόμην, ἀφαιροῦμαι* (βλ. ἀνωτέρω).
**εὐμεγέθης** *-ους* = ἀρκετὰ μεγάλος.
**καλὸς** = ὡραῖος.
**παραστῆσαι** = νὰ δείξῃ.
**φωνὴν** = φωνὴν καλήν, ᾠδικήν.
**βαλών·** *ἔβαλον, βάλλω* = ρίπτω.
**ἀνέκραγον·** ἀόρ. τοῦ *κράζω* = κραυγάζω.
**κτῆσαι·** προστακτ. τοῦ *ἐκτησάμην, κτῶμαι* = ἀποκτῶ.

## 12. Λέων καὶ ἄρκτος.

**νεβρὸς** ὁ = τὸ νεογνὸν τῆς ἐλάφου, ἐλαφάκι.
**περιτυχόντες·** *περιέτυχον*, ἀόρ. τοῦ *περιτυγχάνω* = συναντῶ.
**οὐδέτερος** = οὔτε ὁ ἕνας οὔτε ὁ ἄλλος.
**ἀπαυδῶ** *(-άω)* = ἀποκάμνω, κουράζομαι.
**κατέκειντο ἐκλελυμένοι** = ἐξαπλώθηκαν χωρὶς νὰ ἠμποροῦν νὰ κινηθοῦν.
**περιιοῦσα** = ἡ ὁποία ἐτριγύριζεν ἐκεῖ.
**πεπτωκὼς** ὁ *-ότος* = πεσμένος· τοῦ *πίπτω*.
**ᾤχετο φεύγουσα** = ἔφυγε τρέχουσα, κοιν. τό 'βαλε στὰ πόδια, *οἴχομαι φεύγων* = φεύγω τρέχων.
**ἀναστῆναι·** *ἀνέστην*, ἀόρ. τοῦ *ἀνίσταμαι* = σηκώνομαι.
**δείλαιος** = δυστυχής, ταλαίπωρος.
**μοχθῶ** *( -έω )* = κοπιάζω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 13. Λέων καὶ μῦς.

**ἐξαναστάς·** *ἐξανέστην,* ἀόρ. τοῦ *ἐξανίσταμαι* = σηκώνομαι (ξαφνικά).
**ἀξία χάρις** = ἀνταξία εὐεργεσία.
**κάλως** *-ω ὁ* = χονδρὸν σχοινίον.
**τηνικαῦτα** = τότε.
**στένω** = στενάζω.
**κατεγέλασας·** *καταγελῶ τινος* = εἰρωνεύομαί τινα.
**ὡς μὴ προσδοκῶν** = διότι δὲν ἐπερίμενες, *προσδοκῶ* ( *-άω.* )
**κομιεῖσθαι·** *κομιοῦμαι* ( *-έομαι·* ) μέλλ. τοῦ *κομίζομαι* = λαμβάνω.
**ἴσθι·** προστακτ. τοῦ *οἶδα* = γνωρίζω, μανθάνω.
**ἔστι καὶ παρὰ μυσὶ χάρις** = καὶ οἱ ποντικοὶ ἀνταποδίδουν τὴν εὐεργεσίαν.

## 14. Λέων καὶ ἀλώπηξ.

**ἀλκὴ** = σωματικὴ δύναμις.
**πορίζω** = προμηθεύω.
**ἔγνων·** ἀόρ. τοῦ *γιγνώσκω* = ἀποφασίζω.
**ἐπίνοια** = τέχνασμα, πονηρία.
**παραγενόμενος·** *παραγίγνομαι* (βλ. ἀνωτέρω σελ. 66).
**προσιόντα·** *προσιὼν-οῦσα-όν,* μετχ. τοῦ *προσέρχομαι.*
**κατήσθιον·** *κατεσθίω* = τρώγω.
**ἀπολομένων·** *ἀπολόμενος-η-ον, ἀπωλόμην,* ἀόρ. τοῦ *ἀπόλλυμαι* = χάνομαι, φονεύομαι.
**συνεῖσα·** *συνεὶς -εῖσα -έν,* μετχ. τοῦ *συνῆκα,* ἀόρ. τοῦ *συνίημι* = ἐννοῶ, καταλαβαίνω.
**στᾶσα·** *στὰς -ᾶσα -άν, ἔστην,* ἀόρ. τοῦ *ἵσταμαι* = στέκω.
**ἄπωθεν** = ἀπὸ μακράν.
**πυνθάνομαι** = ἐρωτῶ.
**πῶς ἔχεις;** = πῶς εἶσαι; εἶσαι καλὰ εἰς τὴν ὑγείαν σου;
**κακῶς** = ἄσχημα.
**ἤρετο·** *ἠρόμην,* ἀόρ. τοῦ *ἐρωτῶ.*
**οὐκ εἰσῄει·** δὲν εἰσήρχετο, δὲν ἔμπαινε μέσα· *εἰσῄειν,* παρατ. τοῦ *εἰσέρχομαι.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**εἰσῆλθον ἂν** = θὰ ἔμπαινα μέσα.
**ἴχνη** τὰ = πατήματα.
**εἰσιόντων·** *εἰσιὼν -οῦσα -όν, μετχ. τοῦ εἰσέρχομαι.*
**ἐξιόντος·** *ἐξιὼν -οῦσα -όν, μετχ. τοῦ ἐξέρχομαι.*

## 15. Λέων, λύκος καὶ ἀλώπηξ.

**νοσῶ** ( *-έω* ) = εἶμαι ἀσθενής.
**κατακεκλιμένος·** *κατακέκλιμαι, κατακλίνομαι.*
**λαβόμενος εὐκαιρίας** = εὑρὼν εὐκαιρίαν.
**παρ' οὐδὲν τίθεμαι** = δὲν λογαριάζω διόλου.
**τὸν πάντων τῶν ζῴων κρατοῦντα** = τὸν δυνατώτερον ἀπὸ ὅλα τὰ ζῷα.
**ἠκροάσατο·** *ἠκροασάμην, ἀκροῶμαι ( -άομαι )* = ἀκούω.
**ἐβρυχᾶτο·** *βρυχῶμαι ( -άομαι )* = μουγκρίζω ἀπειλητικῶς.
**ἀπολογίας καιρὸν αἰτήσασα** = ἀφοῦ ἐζήτησε προθεσμίαν νὰ ἀπολογηθῇ.
**ἔφη** = εἶπεν.
**πανταχόσε περινοστήσασα** = ἀφοῦ ἐγύρισα εἰς ὅλα τὰ μέρη.
**κελεύσαντος·** *κελεύω* = διατάσσω.
**φησὶν** = λέγει.
**ἐκδείρῃς·** *ἐξέδειρα, ἐκδέρω* = γδέρνω.
**ἀμφιέσῃ·** *ἀμφιέσωμαι, ἠμφιεσάμην, ἀμφιέννυμαι* = ἐνδύομαι.
**αὐτίκα** = ἀμέσως.
**χρὴ** = πρέπει.
**δεσπότης** = ὁ κύριος, ὁ ἀνώτερος.
**πρὸς δυσμένειαν** = πρὸς ἔχθραν, πρὸς τὸ κακό.

## 16. Γεωργοῦ παῖδες.

**παραινῶ** ( *-έω* ) = συμβουλεύω.
**πεῖσαι·** *ἔπεισα, πείθω.*
**ὁμοφρονῶ** ( *-έω* ) = ὁμονοῶ, δὲν φιλονικῶ.
**ἔγνω·** *ἔγνων, γιγνώσκω* = ἀποφασίζω.
**ἀχείρωτος** = ἀσύλληπτος, ἀκατάβλητος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**εὐάλωτος** = ὁ εὐκόλως καταβαλλόμενος, ὁ ἀνίκανος νὰ ὑπερασπίσῃ τὸν ἑαυτόν του.

### 17. Ὁδοιπόροι καὶ πλάτανος.

**τρύχομαι** = ὑποφέρω.

### 18. Παῖς ψεύστης.

**νέμω** = βόσκω.
**βοῶ** *(-άω)* = φωνάζω δυνατά.
**δεῦτε** = ἔλθετε, ἐλᾶτε ἐδῶ.
**οὐκέτι τις ἐπίστευε** = κανεὶς δὲν ἐπίστευε πλέον.
**ἄδεια** = ἀσφάλεια.
**διαφθείρω** = καταστρέφω.

### 19. Ὁδοιπόροι καὶ ἄρκτος.

**φθάσας**· *φθάνω* = προφθάνω.
**προσήνεγκεν**· ἀόρ. β΄ τοῦ *προσφέρω* = πλησιάζω.
**συνέχω** = συγκρατῶ.
**ἅπτομαι** = ἐγγίζω.
**ἀπαλλάσσομαι** = ἀπομακρύνομαι.
**εἰρήκει**· ὑπερσ. τοῦ *λέγω*.

## II. ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

## Α΄. ΕΚ ΤΗΣ ΘΕΟΓΟΝΙΑΣ ΚΑΙ ΤΗΣ ΚΟΣΜΟΓΟΝΙΑΣ

### 1. Οὐρανὸς καὶ Γῆ.

**δυναστεύω** = βασιλεύω.
**τεκνῶ** *(-όω)* = ἀποκτῶ τέκνα, γεννῶ.
**τίκτω** = γεννῶ (ἐπὶ γυναικός).
**προσαγορεύω** = ὀνομάζω.
**ἑκατόγχειρες**· ὠνομάσθησαν οὕτω διὰ τὴν μεγίστην δύναμίν των, τρόπον τινὰ ὡς ἔχοντες ἑκατόν, πλείστων, χειρῶν δύναμιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἔδησε·** *δῶ ( δέω )* = δένω.
**ἐρεβώδης** *-ους* = σκοτεινός.
**ἐν Ἅδου** *(τόπῳ)* = εἰς τὸν Ἅδην.

## 2. Κρόνος καὶ Ῥέα.

**καταταρταρῶ** *( -όω )* = ρίπτω εἰς τὸν Τάρταρον.
**ἀνήγαγον·** *ἀόρ.* τοῦ *ἀνάγω* = φέρω, ὁδηγῶ ἐπάνω.
**καθεῖρξε·** *καθεῖρξα, ἀόρ.* τοῦ *καθείργνυμι* = φυλακίζω.
**θεμιτὸν** = ἐπιτετραμμένον.
**ἀφαιρεθήσεσθαι·** *ἀφαιροῦμαι τὴν ἀρχὴν* = στεροῦμαι τὴν βασιλείαν, μοῦ ἁρπάζουν τὴν βασιλείαν.

## 3. Γέννησις τοῦ Διός.

**παραγίγνομαι** = ἔρχομαι, μεταβαίνω.
**Κούρητες** ἢ *Κουρῆτες·* οἱ πρῶτοι ἱερεῖς τῆς Ρέας ἐν Κρήτῃ.
**Δίκτη·** ὄρος ἐν Κρήτῃ, σήμερον *Λασηθιώτικα βουνά.*
**Ἀμάλθεια·** αἶξ, ἐκ τῶν μαστῶν τῆς ὁποίας ἐθήλαζεν ὁ Ζεὺς κατὰ τὴν βρεφικὴν ἡλικίαν.
**σπαργανῶ** *( -όω )* = περιτυλίσσω διὰ σπαργάνων.

## 4. Ζεὺς καὶ Τιτανομαχία.

**τέλειος** = ὁ εἰς ἀνδρικὴν ἡλικίαν.
**ἐξήνεγκε·** *ἐξήνεγκον ἀόρ.· ἐκφέρω πόλεμον* = κηρύσσω πόλεμον.
**κρατῶ τινος** = νικῶ τινα.
**διακληροῦμαι** *( -όομαι )* = βάλλω κλῆρον.
**λαγχάνω** = ἐπιτυγχάνω διὰ κλήρου.

## 5. Γιγαντομαχία.

**ἀκαταγώνιστος** = ἀκατάβλητος.
**ἡμμένας·** *ἧμμαι, ἅπτομαι, ἅπτω* = ἀνάπτω, θέτω πῦρ.
**διαφέρω** = ὑπερέχω.
**λόγιον** = μαντεία.
**ἀπολεῖσθαι·** *ἀπολοῦμαι μέλλ.* τοῦ *ἀπόλλυμαι* = χάνομαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τελευτῶ** *(-άω)* = ἀποθνήσκω.
**ἐπεκαλέσατο·** *ἐπικαλοῦμαι (-έομαι)* = ζητῶ, προσκαλῶ.
**κεραυνῶ** *(-όω)* = κτυπῶ μὲ τὸν κεραυνόν.
**διαφθείρω** = φονεύω.

## 6. Προμηθεύς.

**λάθρᾳ Διός·** τὸ πῦρ ἦτο μόνον εἰς τὸν Ὄλυμπον, εἰς τὸ ἐργαστήριον τῆς Ἀθηνᾶς καὶ τοῦ Ἡφαίστου· δὲν ἐπετρέπετο δὲ νὰ δοθῇ εἰς τοὺς ἀνθρώπους ἄνευ τῆς ἀδείας τοῦ Διός.
**νάρθηξ-ηκος** ὁ=φυτὸν ἔχον παχεῖαν ἐντεριώνην, ἡ ὁποία, ὅταν ἀναφθῇ, καίεται βραδέως ὡς ἴσκα, κοιν. *κουφοξυλιά.*
**ᾔσθετο·** *ᾐσθόμην, αἰσθάνομαι* = μανθάνω.
**προσηλῶ** *(-όω)* = καρφώνω.
**λοβοὶ** = τὰ τμήματα, ἐκ τῶν ὁποίων φυσικῶς ἀποτελεῖται τὸ ἧπαρ, τὸ συκῶτι.
**ἔτινε·** *δίκην τίνω* = τιμωροῦμαι, *τίνω* = πληρώνω.
**γυναῖκα ἄγομαι** = παίρνω γυναῖκα, νυμφεύομαι.

## 7. Δευκαλίων καὶ κατακλυσμός.

**ὑποθεμένου·** *ὑπεθέμην*, ἀόρ. τοῦ *ὑποτίθεμαι* = συμβουλεύω.
**λάρναξ** *-ακος ἡ* = σκαφίδιον, πλοιάριον.
**ἐτεκτήνατο·** *τεκταίνομαι* = κατασκευάζω.
**ἐπιτήδεια** τὰ = τρόφιμα.
**ἐνθέμενος·** *ἐνεθέμην, ἐντίθεμαι* = θέτω ἐντός.
**εἰσέβη·** *εἰσβαίνω* = μπαίνω μέσα, εἰσέρχομαι.
**ὑετὸς** ὁ = βροχή.
**χέας·** μετχ. τοῦ *ἔχεα*, ἀόρ. τοῦ *χέω* = χύνω.
**κατέκλυσε·** *κατακλύζω* = καλύπτω μὲ ὕδατα.
**διαφθαρῆναι·** *διεφθάρην, διαφθείρομαι* = ἀποθνήσκω.
**Παρνασσῷ προσίσχει** = κάθηται ἐπὶ τοῦ Παρνασσοῦ.
**ὄμβρος** = ὑετός.
**ἐκβάς·** *ἐξέβην, ἐκβαίνω*
**φύξιος·** ἐπίθετον τοῦ Διὸς ὡς προστάτου τῶν φευγόντων.
**αἱροῦμαι** *(-έομαι)* = ἐκλέγω, προτιμῶ.
**ἄραντες·** *αἴρω* = σηκώνω, λαμβάνω ἐκ τοῦ ἐδάφους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

## 8. Ἕλληνες.

**τέως** = ἕως τότε.
**ἀφ' ἑαυτοῦ** = ἀπὸ τὸ ὄνομά του.
**μερίζω** = διαμοιράζω.
**τὴν πέραν Πελοποννήσου χώραν** = τὴν σημερινὴν Δωρίδα.

## 9. Ἡ Δημήτηρ ἐν Ἐλευσῖνι.

**περιῄει·** *περιῄειν*, παρατ. τοῦ *περιέρχομαι*.
**κατέλιπεν οὐρανὸν** = ἔφυγεν ἀπὸ τὸν οὐρανόν.
**εἰκασθεῖσα·** *εἰκάσθην*, *εἰκάζομαι* = γίνομαι ὅμοιος, λαμβάνω τὴν μορφήν τινος.
**ἧκεν** = ἦλθε, παρατ. τοῦ *ἥκω* = ἔχω ἔλθει.
**ἀγέλαστος πέτρα·** ὠνομάσθη οὕτω, διότι ἐπ' αὐτῆς καθημένη ἡ Δημήτηρ ἦτο περίλυπος.
**κατετίθει·** *κατατίθημι* = θέτω, βάλλω.
**περιῄρει·** *περιαιρῶ ( -έω )* = ἀφαιρῶ, ἀποσπῶ.
**ἐπετήρησεν·** *ἐπιτηρῶ ( -έω )* = παρακολουθῶ κρυφίως.
**καταλαβοῦσα** = ὅτε εἶδεν.
**ἀναβοῶ** *( -άω )* = κραυγάζω.
**ὑπὸ τοῦ πυρὸς ἀνηλώθη** = ἐκάη ὑπὸ τοῦ πυρός.
**ἐξέφηνε·** ἀόρ. τοῦ *ἐκφαίνω* = φανερώνω.
**πτηνοὶ δράκοντες** = πτερωτοὶ ὄφεις.
**πυρὸς** ὁ = σῖτος.

### Β΄. ΗΡΑΚΛΗΣ

## 1. Γέννησις Ἡρακλέους. Πρῶτα κατορθώματα.

**Ἀμφιτρύων** *-ωνος·* βασιλεὺς τῶν Θηβῶν.
**διὰ τὰ ὑπὲρ ἄνθρωπον ἔργα** = διὰ τὰ ὑπεράνθρωπα κατορθώματά του.
**Διός... γενέσθαι** = ὅτι ἦτο υἱὸς τοῦ Διός.
**εὐνὴ** = κλίνη.
**ἄγχω** = σφίγγω τὸν λαιμόν.
**βουκόλιον** = ἀγέλη βοῶν, κοιν. *βουκολιό*.
**ἀστοχῶ** *( -έω)* = ἀποτυγχάνω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἁρματηλατῶ** (*-έω*) = διευθύνω ἅρμα.
**κιθαρῳδῶ** (*-έω*) = παίζω κιθάραν καὶ συγχρόνως τραγουδῶ.
**ἀνεῖλε·** *ἀνεῖλον*, ἀόρ. τοῦ *ἀναιρῶ* = φονεύω.
**φθείρω** = *διαφθείρω* = φονεύω.
**ἠμφιέσατο·** *ἠμφιεσάμην* ἀόρ. τοῦ *ἀμφιέννυμαι* = ἐνδύομαι.
**ἀνακάμπτω** = ἐπιστρέφω.
**θήρα** = κυνήγιον.
**δασμὸς** ὁ = φόρος.
**Μινύαι** οἱ· λαὸς ἀρχαιότατος κατοικῶν ἐν Βοιωτίᾳ.
**πολεμαρχῶ** (*-έω*) = εἶμαι πολέμαρχος, στρατηγός.
**ἐτρέψατο** = ἔτρεψεν εἰς φυγήν, *τρέπομαί τινα.*
**φέρω δασμὸν** = πληρώνω δασμόν.
**ἀριστεῖον** = βραβεῖον ἀρετῆς, γενναιότητος.

## 2. Μανία Ἡρακλέους.

**μανῆναι·** *ἐμάνην*, ἀόρ. τοῦ *μαίνομαι* = πάσχω μανίαν, παραφρονῶ.
**καταδικάσας ἑαυτοῦ φυγὴν** = καταδικάσας τὸν ἑαυτόν του εἰς ἐξορίαν.
**Δελφοί·** πόλις ἐν Φωκίδι, ὅπου ἦτο τὸ περίφημον μαντεῖον τοῦ Ἀπόλλωνος.
**πυνθάνομαι τοῦ θεοῦ** = ἐρωτῶ τὸν θεόν.
**Πυθία·** ἡ ἱέρεια τοῦ ἐν Δελφοῖς μαντείου, ἡ λέγουσα τοὺς χρησμούς.
**Τίρυνς** ἡ, γεν. *Τίρυνθος*· ἀρχαιοτάτη πόλις τῆς Ἀργολίδος, κειμένη μεταξὺ Ἄργους καὶ Ναυπλίου.
**Εὐρυσθεύς·** βασιλεὺς τῶν Μυκηνῶν καὶ τῆς Τίρυνθος.
**λατρεύω τινὶ** = ὑπηρετῶ εἴς τινα.
**ἆθλος** ὁ = ἀγώνισμα, κατόρθωμα.

## 3. Ὁ Νεμεαῖος λέων.

**Νεμεαῖος** = ὁ ἐν Νεμέᾳ ζῶν. *Νεμέα*· δασώδης κοιλὰς εἰς τὴν Ἀργολίδα παρὰ τὴν Κόρινθον.
**ἔμαθεν ἄτρωτον ὄντα** = ἐνόησεν, ὅτι ὁ λέων ἦτο ἄτρωτος.
**ἄτρωτος** = ὁ μὴ δυνάμενος νὰ τραυματισθῇ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἀνατεινάμενος**· *ἀνετεινάμην, ἀνατείνομαι τὸ ῥόπαλον* = σηκώνω ὑψηλὰ τὸ ρόπαλον διὰ νὰ κτυπήσω.
**ἀμφίστομος** = ὁ ἔχων δύο στόματα.
**ἀπῳκοδόμησεν**· *ἀποικοδομῶ (-έω)* = ἀποκλείω, φράσσω διὰ τοίχου.
**ἐπεισῆλθε τῷ θηρίῳ** = εἰσῆλθε κατόπιν τοῦ θηρίου.
**κατασχών**· *κατέσχον, κατέχω* = κρατῶ, συλλαμβάνω.
**περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ** = ἀφοῦ περιέβαλε τὸν τράχηλον διὰ τοῦ βραχίονος.

## 4. Λερναία ὕδρα.

**Λερναῖος** = ὁ ἐν τῇ Λέρνῃ ζῶν. *Λέρνη*· ἕλος ἐν Ἀργολίδι.
**ὕδρα** = ὄφις τερατώδης.
**ἕλος** *-ους τὸ* = κοῖλος τόπος ὑδατώδης ἢ πηλώδης καὶ ὡς ἐκ τούτου ἄβατος κατὰ τὸ πλεῖστον.
**ἐκτραφεῖσα**· *ἐξετράφην, ἐκτρέφομαι* = τρέφομαι, ἀναπτύσσομαι.
**βοσκήματα** = τὰ βόσκοντα κτήνη, π. χ. πρόβατα, αἶγες, βόες.
**ἐπιβάς**· *ἐπέβην, ἐπιβαίνω ἅρματος* = ἀναβαίνω εἰς τὸ ἅρμα.
**ἡνιοχῶ** *(-έω)* = κρατῶ τὰς ἡνίας, διευθύνω τοὺς ἵππους.
**ἀνύτω** = κατορθώνω, φέρω ἀποτέλεσμα.
**ἀναφύομαι** = ἀναγεννῶμαι.
**ὕλη** = δάσος.
**ἐμπρήσας**· *ἐνέπρησα* ἀόρ. τοῦ *ἐμπίμπρημι* = πυρπολῶ, καίω.
**δαλὸς** ὁ = δαυλός, ξύλον καιόμενον εἰς τὸ ἄκρον.
**τὰς ἀνατολὰς τῶν κεφαλῶν** = τὰς ἐκφύσεις, τὰς γενέσεις τῶν κεφαλῶν.
**κατώρυξε**· *κατορύσσω* = θάπτω εἰς τὴν γῆν.
**ὀιστὸς** = βέλος.
**ἰὸς** ὁ = δηλητήριον.
**κατηρίθμησε**· *καταριθμῶ (-έω)* = συγκαταριθμῶ, λογαριάζω.
**περιεγένετο**· *περιγίγνομαί τινος* = νικῶ τινα.

## 5. Χρυσόκερως ἔλαφος.

**ἐνεγκεῖν**· ἤνεγκον ἀόρ. τοῦ *φέρω*.
**Οἰνόη**· τόπος τις τῆς Ἀργολίδος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τρῶσαι·** *ἔτρωσα* ἀόρ. τοῦ *τιτρώσκω* = τραυματίζω.
**ἦν τῆς Ἀρτέμιδος ἱερὰ** = ἦτο ἱερὸν κτῆμα τῆς Ἀρτέμιδος καὶ ἑπομένως ὑπὸ τὴν προστασίαν αὐτῆς.
**ἐνιαυτὸς** = ἔτος.
**καμοῦσαν·** *ἔκαμον*, ἀόρ. τοῦ *κάμνω* = ἀποκάμνω, κουράζομαι.
**Λάδων** *-ωνος* ὁ· παραπόταμος τοῦ Ἀλφειοῦ.

## 6. Ἐρυμάνθιος κάπρος.

**Ἐρυμάνθιος** = ὁ ζῶν εἰς τὸ ὄρος τῆς Ἀρκαδίας Ἐρύμανθον.
**κάπρος** = ἄγριος χοῖρος.
**Ψωφὶς**-*ῖδος* ἡ· πόλις τῆς Ἀρκαδίας.
**ὁρμῶμαι** ( *-άομαι* )= ξεκινῶ.
**λόχμη** ἡ = τόπος ἄβατος διὰ τοὺς πολλοὺς καὶ πυκνοὺς θάμνους.
**ἐμβροχίζω** = διὰ βρόχου, διὰ παγίδος συλλαμβάνω.

## 7. Ἡ κόπρος τῶν βοσκημάτων τοῦ Αὐγείου.

**ἐκφορῆσαι·** *ἐκφορῶ* ( *-έω* )= βγάζω ἔξω.
**αὐλή·** περιτοιχισμένος τόπος, μάνδρα.
**σηκάζομαι** = ἐγκλείομαι (ἐντὸς μάνδρας).
**ἀμύθητος** = ἀλογάριαστος, πολύς.
**φάσκω** = λέγω.
**ἀπιστῶ** ( *-έω* )= δὲν πιστεύω.
**τὸν θεμέλιον ἐξέβαλε** = ἐδημιούργησε ρῆγμα.
**παροχετεύω** = διοχετεύω, δι' ὀχετοῦ κάμνω νὰ ρεύσῃ.
**ἐξηνέχθη·** ἀόρ. τοῦ *ἐκφέρομαι* = ἐξάγομαι.
**ἐπιτετέλεσται** = ἔχει ἐκτελεσθῆ· τοῦ ρ. *ἐπιτελοῦμαι* ( *-έομαι* )
**ἀπεδίδου·** παρατ. τοῦ *ἀποδίδωμι* = δίδω τι, τὸ ὁποῖον χρεωστῶ.
**προσεδέξατο** = *κατηρίθμησε* (βλ. ἀνωτέρω).

## 8. Στυμφαλίδες ὄρνιθες.

**ὄρνιθας·** *ὄρνις -ιθος* ἡ καὶ ὁ = πτηνόν.
**συνηρεφὴς** *-οῦς* = σκεπασμένος.
**μυρίοι** = ἀναρίθμητοι, ἄπειροι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**᾿Αμηχανοῦντος·** *ἀμηχανῶ ( -έω )* = ἀπορῶ.
**χαλκοῦς** = χάλκινος.
**῞Ηφαιστος·** θεὸς τοῦ πυρός, σιδηρουργός.
**φοβῶ** *( -έω ) τινὰ* = κάμνω τινὰ νὰ φοβηθῇ, ἐκφοβίζω.
**δέους·** *δέος, τὸ* = φόβος.
**ἀναπέτομαι** = πετῶ ὑψηλά, ἀπομακρύνομαι.

## 9. Ὁ Κρὴς ταῦρος·

**ἀγαγεῖν·** *ἤγαγον* ἀόρ. τοῦ *ἄγω* = κομίζω.
**θεασάμενος·** *ἐθεασάμην, θεῶμαι ( -άομαι )* = παρατηρῶ.
**ἠγρίωσε·** *ἀγριῶ ( -όω )* = κάμνω ἄγριον.
**εἴασεν·** *εἴασα, ἐῶ ( -άω )* = ἀφήνω.
**ἄφετος** = ἐλεύθερος.
**διαλυμαίνομαι** = βλάπτω.

## 10. Αἱ Διομήδους ἵπποι·

**μάχιμος** = ἱκανὸς εἰς τὴν μάχην.
**συνέπομαι** = συνακολουθῶ.
**βιασάμενος·** *ἐβιασάμην, βιάζομαί τινα* = διὰ τῆς βίας καταβάλλω τινα.
**οἱ ἐπὶ ταῖς φάτναις τῶν ἵππων** = οἱ ἱπποκόμοι.
**ἐπιβοηθῶ** *( -έω )* = σπεύδω ἐναντίον τινός.
**πρὸς τοὺς Βίστονας ἀγωνισάμενος** = ἀγωνισθεὶς ἐναντίον τῶν Βιστόνων.
**ἀφέντος·** *ἀφεὶς* μετχ. τοῦ *ἀφῆκα,* ἀορ. τοῦ *ἀφίημι* = ἀφίνω ἐλεύθερον.
**ἀπώλοντο·** *ἀπωλόμην,* ἀόρ. τοῦ *ἀπόλλυμαι* = χάνομαι.

## 11. Ὁ ζωστὴρ τῆς Ἱππολύτης·

**Θερμώδων** *-οντος* ὁ· ποταμὸς ἐν Πόντῳ.
**ἔθνος μέγα τὰ κατὰ πόλεμον** = ἔθνος περίφημον ὡς πρὸς τὰ πολεμικά.
**ἀσκῶ** *( -έω ) ἀνδρείαν* = προσπαθῶ νὰ εἶμαι γενναῖος.
**σύμβολον** = σημεῖον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**Ἐπὶ τοῦτον τὸν ζωστῆρα... ἐπέμπετο** = τοῦτον τὸν ζωστῆρα διὰ νὰ λάβῃ... ἐστάλη.
**τίνος χάριν ἥκοι** = διὰ ποῖον σκοπὸν ἦλθε.
**πυθομένη·** *ἐπυθόμην*, ἀόρ. τοῦ *πυνθάνομαι* = ἐρωτῶ.
**ὑπέσχετο·** *ὑπεσχόμην*, ἀόρ. τοῦ *ὑπισχνοῦμαι* =ὑπόσχομαι.
**οἴομαι** = νομίζω.
**βασιλὶς** *-ίδος ἡ* = βασίλισσα.
**καταθέω** = τρέχω, σπεύδω.
**ἀφαιροῦμαι** *( -έομαι )*= ἀφαιρῶ.
**ἐτρέψατο** (βλ. ἀνωτέρω, σ. 74 ).

## 12. Αἱ βόες τοῦ Γηρυόνου.

**Γηρυόνης·** βασιλεὺς τῆς Ἐρυθείας.
**φοινικᾶς·** *ὁ φοινικοῦς, ἡ φοινικῆ, τὸ φοινικοῦν* = πορφυροῦς, κόκκινος.
**Λιβύης ἐπέβη** = ἐπέρασεν εἰς τὴν Λιβύην.
**ὅροι** οἱ = σύνορα, ἄκρα.
**στήλη** = σημάδι, συνήθως πλὰξ ἢ λίθος.
**αὐλίζομαι** = διανυκτερεύω.
**παίω** = κτυπῶ.
**πυθόμενος·** *ἐπυθόμην, πυνθάνομαι* = ἐρωτῶ (πρβ. ἀλλαχοῦ διάφορον σημασίαν τοῦ ῥήματος).
**ἀποθνῄσκω** = φονεύομαι.

## 13. Τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων.

**Ὑπερβόρειοι·** λαὸς κατοικῶν εἰς τὰ πρὸς βορρᾶν ἔσχατα τῆς γῆς, ὅπου ὁ Ἄτλας ἐβάσταζε τὸν οὐρανόν.
**δράκων** *-οντος ὁ* = ὄφις.
**Ἑσπερίδες·** ἐνν. *νύμφαι*.
**πόλος** ὁ = ὁ οὐρανός.
**ἐδέξατο·** *δέχομαι* = ἀναλαμβάνω.
**δρεψάμενος·** *δρέπομαι* = κόπτω ἀπὸ τὸ δένδρον.
**κομιῶ** *( -έω )*· μέλλ. τοῦ *κομίζω*.
**ἀνέχω** = κρατῶ, βαστάζω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**δεῖται** *δέομαι αὐτοῦ* = τὸν παρακαλῶ.
**ἕως ἄν... ποιήσηται** = μέχρις ὅτου κατασκευάσῃ.
**σπεῖρα** ἡ = κουλούρα.

## 14. Ὁ Κέρβερος.

**Κέρβερος** ὁ· κύων τερατώδης, φύλαξ τοῦ Ἅδου.
**κατὰ τοῦ νώτου** = ἐπὶ τῆς ράχεως· τὸ *νῶτον*.
**οὗ** = ὅπου.
**χωρίς, ὧν εἶχεν, ὅπλων** = ἄνευ τῶν ὅπλων, τὰ ὁποῖα εἶχε, δηλ. ἄνευ τοῦ ροπάλου καὶ τῆς λεοντῆς.
**κρατήσαντα** = ἀφοῦ τὸν καταβάλῃ.
**συνέχω** = κρατῶ, συγκρατῶ.

## 15. Ἡρακλῆς καὶ Δηιάνειρα.

**Καλυδὼν** *-ῶνος* ἡ· χώρα τῆς Αἰτωλίας.
**Οἰνεὺς** *-έως* ὁ· βασιλεὺς τῆς Καλυδῶνος.
**μνηστεύομαι τὴν Δηιάνειραν** = ζητῶ σύζυγον τὴν Δηιάνειραν.
**εἰκασμένον ταύρῳ** = λαβόντα τὴν μορφὴν ταύρου.
**ἀπολαμβάνω** = λαμβάνω πίσω.
**Ἀμάλθεια** (βλ. *ἀνωτέρω*, σελ. 71).
**βρωτὸν** = φαγητόν, κάθε φαγώσιμον.

## 16. Θάνατος Ἡρακλέους.

**πυρὰν ἐποίησε** = ἔκαμε σωρὸν ἀπὸ ξύλα.
**ὑφάπτω** = θέτω πῦρ ὑποκάτω· ἀόρ. *ὑφῆψα*.
**Ποίας** ὁ, γεν. *Ποίαντος*.
**κατὰ ζήτησιν ποιμνίων** = πρὸς ἀναζήτησιν τῶν ποιμνίων του.

# Γ΄. ΑΡΓΟΝΑΥΤΙΚΗ ΕΚΣΤΡΑΤΕΙΑ

## 1. Ἰνὼ ἐπιβουλεύει τῷ Φρίξῳ καὶ τῇ Ἕλλῃ.

**ἐπιβουλεύω τινι** = σκέπτομαι κακὸν ἐναντίον τινός, μισῶ τινα.
**πυρὸς** ὁ = σῖτος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**φρύγω** = φρυγανίζω, καψαλίζω, παθ. παρακ. *πέφρυγμαι.*
**ἀπαλλαγὴν ἐπυνθάνετο τῆς ἀφορίας** = ἠρώτα, μὲ ποῖον τρόπον θὰ ἀπαλλαχθοῦν ἀπὸ τὴν ἀφορίαν.
**ἀνέπεισε·** *ἀναπείθω* = πείθω.
**εἴη κεχρησμένον** = ἐδόθη χρησμός.

## 2. Φρῖξος ἀφικνεῖται εἰς Κόλχους.

**Ὡς ἐγένοντο** = ὅταν ἔφθασαν.
**ὤλισθον·** ἀόρ. τοῦ *ὀλισθάνω* = γλιστρῶ.
**βυθὸς** ὁ = τὸ βάθος τῆς θαλάσσης.
**Διὶ... φυξίῳ·** ὁ Ζεὺς ἐκαλεῖτο *φύξιος* ὡς προστάτης τῶν φευγόντων.

## 3. Πελίας πέμπει Ἰάσονα ἐπὶ τὸ χρυσόμαλλον δέρας.

**ληψόμενος** = διὰ νὰ λάβῃ· *λήψομαι* μέλλ. τοῦ *λαμβάνω.*
**μαντεύομαι περί τινος** = ζητῶ χρησμὸν περί τινος.
**ἔχρησεν·** *χρῶ (-ήω)* = δίδω χρησμόν.
**μονοσάνδαλος** = ὁ φορῶν ἓν σανδάλιον, ἓν πέδιλον.
**φυλάξεσθαι·** *φυλάττομαί τινα* = προφυλάττομαι ἀπὸ κάποιον.
**ὅ,τι δηλοίη ὁ χρησμὸς** = τί σημαίνει ὁ χρησμός.
**μεταπέμπομαί** *τινα* = προσκαλῶ τινα.
**κατὰ γεωργίαν** = πρὸς καλλιέργειαν (τῶν ἀγρῶν του).
**κατέμαθε τοῦτον ὄντα** = ἐνόησεν, ὅτι αὐτὸς εἶναι.
**ἐπὶ τὸ δέρας ἐλθεῖν** = νὰ μεταβῇ καὶ νὰ φέρῃ τὸ δέρας.

## 4. Ἰάσων παρασκευάζεται πρὸς ἀπόπλουν.

**ἐπικαλοῦμαι Ἄργον** = ζητῶ τὴν βοήθειαν τοῦ Ἄργου.
**ὑποθεμένης·** *ὑπεθέμην, ὑποτίθεμαι* = συμβουλεύω.
**πυνθάνομαι τοῦ θεοῦ περὶ τοῦ πλοῦ** = ἐρωτῶ τὸν θεὸν περὶ τοῦ ταξιδίου.
**ὅ,τι περ ἄνθος ἀνδραγαθίας** = τὸ ἄνθος τῆς γενναιότητος.

## 5. Ὁ μάντις Φινεὺς ἀπαλλάσσεται τῶν Ἁρπυιῶν.

**ἀναχθέντες·** *ἀνάγομαι* = πλέω ἐκ τοῦ λιμένος εἰς τὸ πέλαγος, ἀποπλέω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**προσίσχω Λήμνῳ** = προσορμίζομαι εἰς τὴν Λῆμνον.
**καταντῶ** *( -άω ) εἰς Σαλμυδησσὸν* = φθάνω εἰς Σαλμυδησσόν.
**ὁπότε... παρατιθεῖτο** = ὁσάκις παρετίθετο.
**ἔδεσμα** = φαγητόν.
**ἀνάπλεα·** *ὁ καὶ ἡ ἀνάπλεως, τὸ ἀνάπλεων* = γεμᾶτος.
**διδάσκω** = συμβουλεύω.
**σπασάμενος·** *ἐσπασάμην, σπῶμαι τὸ ξίφος* = σύρω τὸ ξίφος.

## 6. Ἡ Ἀργὼ διαπλέει τὸν πόρον τῶν Συμπληγάδων.

**μηνύω** = δεικνύω.
**πέτρα** = βράχος.
**πνεῦμα** = ἄνεμος.
**πόρος** ὁ = πέρασμα στενόν, πορθμός.
**ἀφεῖναι·** *ἀφῆκα, ἀφίημι διὰ τῶν πετρῶν* = ἀφήνω νὰ περάσῃ διὰ μέσου τῶν βράχων.
**πελειὰς** *-άδος ἡ* = περιστερά.
**διαπετομένης** = ἐνῷ ἐπετοῦσε διὰ μέσου τῶν βράχων.
**σύμπτωσις τῶν πετρῶν** = σύγκρουσις τῶν βράχων.
**ἐπιτηρήσαντες·** *ἐπιτηρῶ ( -έω )* = παρακολουθῶ, προσέχω.
**ἀναχωρῶ** *( -έω )* = γυρίζω πίσω· *ἀναχωρούσας τὰς πέτρας* = ὅταν οἱ βράχοι ἀπεσύροντο, ὅταν ἤνοιγον τὸν πόρον.
**εἰρεσία** = *κωπηλασία.*
**εὔτονος** = δυνατός.
**ἄφλαστα** *τὰ* = μέρος τῆς πρύμνης, τὸ ὁποῖον ἐξέχει πρὸς τὰ ἄνω.
**ἔστησαν** = ἐστάθησαν ἀκίνητοι.

## 7. Ὁ Ἰάσων βοηθούμενος ὑπὸ τῆς Μηδείας λαμβάνει τὸ δέρας.

**μεγέθει διαφέροντες** = ἐξαιρετικοὶ κατὰ τὸ μέγεθος.
**πῶς ἂν δύναιτο** = πῶς θὰ ἠμπορέσῃ.
**συνεργήσειν·** *συνεργῶ ( -έω ) τινι* = βοηθῶ τινα.
**ἐπηγγείλατο·** *ἐπαγγέλλομαι* = ὑπόσχομαι.
**ἐγχειριεῖν·** *ἐγχειρίζω* = δίδω εἰς τὰς χεῖρας.
**ἕξειν·** *ἕξω μέλλ. τοῦ ἔχω.*



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἀπάξειν·** *ἀπαξω, ἀπάγω* = ὁδηγῶ.
**Ὀμόσαντος·** *ὤμοσα,* ἀόρ. τοῦ *ὄμνυμι* = ὁρκίζομαι.
**φαρμακεύτρια** = μάγισσα.
**χρισθέντα·** *ἐχρίσθην, χρίομαι* = ἀλείφομαι.
**πρὸς μίαν ἡμέραν** = ἐπὶ μίαν ἡμέραν.
**ἀδικήσεσθαι** = ὅτι θὰ πάθῃ κακόν.
**μέλλουσιν ἀναδύεσθαι** = θὰ ἐξέλθουν.
**ἐπ' αὐτὸν** = ἐναντίον του.
**ἄπωθεν** = ἀπὸ μακράν.
**ἐκ τούτου** = ἕνεκα τούτου, δηλ. ἐξ αἰτίας τῶν λίθων, οἱ ὁποῖοι θὰ ἔπιπτον μεταξύ των.
**νεὼς** ὁ = ναός.
**ἄλσος** τὸ = δάσος.
**ἐμάστευσε·** *μαστεύω* = ζητῶ.
**σὺν πολλῷ πυρί·** τὸ ὁποῖον δηλαδὴ ἐφύσων ἐκ τοῦ στόματος.
**ἀνῄρει·** *ἀναιρῶ* = φονεύω.
**καταφλέγω** = καίω, πυρπολῶ.
**Φθάσασα... ἤγαγε** = ἐπρόφθασε καὶ ὡδήγησεν.

## III. ΕΚ ΤΗΣ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### 1. Ἀρταξέρξης καὶ Ὠμίσης.

**Ῥοιὰ** = ρόδι.
**ἐπὶ λίκνου** = ἐντὸς κανίστρου· διότι τόσον μεγάλο ἦτο τὸ ρόδι.
**οἴκοθεν** = ἀπὸ τὸ σπίτι του.
**ὑπερήσθη·** *ὑπερήδομαι* = χαίρω ὑπερβολικά.
**Μίθρας·** θεὸς τῶν Περσῶν, ὁ ἥλιος ὡς θεός.

### 2. Θράσυλλος ὁ Αἰξωνεύς.

**καινή... μανία** = πρωτοφανὴς τρέλα.
**καταίρω** (ἐπὶ πλοίου) = εἰσέρχομαι εἰς τὸν λιμένα, *εἰσπλέω.*
**ἀπαίρω** (ἐπὶ πλοίου) = ἐξέρχομαι ἀπὸ τὸν λιμένα, *ἐκπλέω.*
**ἀπογράφομαι τὰ πλοῖα** = καταγράφω, κρατῶ κατάλογον τῶν πλοίων.
**εἰσιοῦσιν·** *εἰσιών,* -*οῦσα,* -*ὸν* μετχ. τοῦ *εἰσέρχομαι.*

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἰάσασθαι·** *ἰασάμην, ἰῶμαι (-άομαι)* = θεραπεύω.
**ἡσθῆναι·** *ἥσθην, ἥδομαι* = εὐχαριστοῦμαι.

## 3. Φερενίκη Ὀλύμπια θεᾶται.

**ἀγωνιούμενον·** *ἀγωνιοῦμαι·* μέλλ. τοῦ *ἀγωνίζομαι*
**κωλύω** = ἐμποδίζω.
**Ἑλλανοδίκαι** οἱ· οἱ ἐποπτεύοντες τοὺς ἀγῶνας καὶ παρέχοντες τὰ βραβεῖα εἰς τοὺς νικητάς.
**ἐξενίκησε τὸν νόμον** = ἔκαμεν, ὥστε νὰ παραβαθῇ ὁ νόμος.
**εἴργω τῆς θέας τὰς γυναῖκας** = δὲν ἐπιτρέπω τὴν θέαν εἰς τὰς γυναῖκας.

## 4. Οἱ τῶν Ἑλλήνων ἄριστοι.

**ἐν πενίᾳ διαζῶ** = ζῶ φτωχικά.
**καὶ τοὺς φόρους τοῖς Ἕλλησι τάξας·** ὁ Ἀριστείδης ὥρισε τοὺς φόρους τῶν συμμάχων κατὰ τὴν πρώτην Ἀθηναϊκὴν συμμαχίαν.
**ἐντάφια** = τὰ ἀναγκαῖα χρήματα διὰ τὴν ταφήν.
**καλὸς κἀγαθὸς** = τίμιος καὶ εὐγενής.
**ἐασάτω·** *εἴασα, ἐῶ* = ἐπιτρέπω, ἀφήνω.
**ἐφόδιον** = τὰ ἀναγκαῖα χρήματα πρὸς διατροφὴν κατὰ τὴν ἐκστρατείαν.

## 5. Λακεδαιμονίων μητέρες.

**πυνθάνομαι** = μανθάνω.
**κεῖσθαι** = ὅτι εἶχον φονευθῇ.
**ἐπισκοπῶ** = παρατηρῶ, ἐξετάζω.
**γαυροῦμαι** *(-όομαι)* = ὑπερηφανεύομαι.
**σεμνὸν ὁρῶ** = βλέπω, κοιτάζω μὲ σοβαρότητα.
**Εἰ δὲ ἄλλως** = ἂν δὲ ἀντιθέτως.
**αἰδοῦμαι** *(-έομαι)* = αἰσχύνομαι = ντροπιάζομαι.
**πολυάνδριον·** νεκροταφεῖον, ὅπου ἐθάπτοντο ὁποιοιδήποτε, καὶ οἱ τυχαῖοι νεκροί.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### 6. Κρητῶν νόμος.

**ψυχαγωγοῦμαι** *( -έομαι )* = τέρπομαι, εὐχαριστοῦμαι.
**τῇ μνήμῃ διαλαμβάνω** = συγκρατῶ εἰς τὴν μνήμην.

### 7. Λακωνικοὶ νόμοι.

**ἀτέλεια στρατείας** = ἀπαλλαγὴ ἀπὸ στρατιωτικὴν ὑπηρεσίαν.
**ἀφεῖσθαι·** *ἀφεῖμαι·* παρακ. τοῦ *ἀφίεμαι* = ἀπαλλάσσομαι.
**λειτουργία** = χρηματικὴ εἰσφορὰ εἰς τὸ κράτος.
**οὐκ ἐξῆν** = δὲν ἦτο ἐπιτετραμμένον.
**σκυλεύω** = ἀφαιρῶ τὰ ὅπλα ἢ ἄλλα πράγματα τοῦ φονευθέντος ἐχθροῦ.
**θαλλὸς** = κλάδος δένδρου, κυρίως τῆς ἐλαίας.
**φοινικὶς** *-ίδος* = ἐρυθρὸν ἱμάτιον.

### 8. Νόμος Ἀττικός.

**περιτύχῃ·** *περιέτυχον, περιτυγχάνω τινὶ* = συναντῶ τινα.
**ἐπιβάλλω αὐτῷ γῆν** = ρίπτω ἐπάνω εἰς αὐτὸ χῶμα.
**ἦν φυλαττόμενον παρὰ τοῖς Ἀθηναίοις** = τὸ ἐκρατοῦσαν οἱ Ἀθηναῖοι ὡς ἔθιμον.
**Βοῦς ἀρότης** = βόδι καματερό.
**πονήσαντα·** *πονῶ* (-έω) = κοπιάζω.
**εἴη ἂν γεωργὸς** = εἶναι, θεωρεῖται σὰν γεωργός.
**κάματος** = κόπος.
**κοινωνὸς** = αὐτὸς ποὺ λαμβάνει μέρος, μέτοχος.

### 9. Αἰνείου εὐσέβεια.

**ἑάλω·** *ἑάλων* ἀόρ. τοῦ *ἁλίσκομαι* = κυριεύομαι.
**οἰκτίραντες·** *ᾤκτιρα, οἰκτίρω* = λυποῦμαι, εὐσπλαγχνίζομαι.
**ἁλισκομένων·** *ἁλίσκομαι* = συλλαμβάνομαι, αἰχμαλωτίζομαι.
**τύχη** = συμφορά.
**ἀπιέναι·** ἀπαρ. τοῦ *ἀπέρχομαι.*
**ἀμελῶ** *τινος* = ἀδιαφορῶ διὰ κάποιον.
**πατρῷοι θεοὶ** = οἱ θεοὶ τῶν πατέρων, τῶν προγόνων.
**συνεχώρησαν·** *συγχωρῶ λαβεῖν* = ἐπιτρέπω νὰ λάβῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**γεγηρακότα** = γέροντα· *γεγήρακα* = εἶμαι γέρων.
**ἀναθέμενος·** *ἀνεθέμην* ἀόρ.· *ἀνατίθεμαι τοῖς ὤμοις* = φορτώνομαι εἰς τοὺς ὤμους.
**τὰ οἰκεῖα κτήματα** = τὰ πράγματά του.

## 10. Τίτορμος καὶ Μίλων.

**περιέτυχεν·** *περιτυγχάνω* = συναντῶ.
**μέγα φρονῶ** = ὑπερηφανεύομαι.
**λαβεῖν πεῖραν τῆς ἰσχύος αὐτοῦ** = νὰ δοκιμάσῃ τὴν δύναμίν του.
**οὐδὲν μέγα ἰσχύειν** = ὅτι δὲν ἔχει μεγάλην δύναμιν.
**ἦρε·** *ἦρα·* ἀόρ. τοῦ *αἴρω* = σηκώνω.
**μόλις** = μὲ δυσκολίαν.
**στὰς** ὁ· μετχ. τοῦ *ἔστην* τοῦ ρ. *ἵσταμαι* = στέκομαι.
**λαμβάνω τοῦ ποδὸς** = πιάνω ἀπὸ τὸ πόδι.
**ἀποδρᾶναι** = νὰ φύγῃ, ἀόρ. τοῦ *ἀποδιδράσκω*.
**ὁμοίως κατεῖχε** = ὁμοίως ἐκρατοῦσε.

# IV. ΕΚ ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ ΝΕΚΡΙΚΩΝ ΔΙΑΛΟΓΩΝ

## 1. Ἑρμοῦ καὶ Χάρωνος.

**λογισώμεθα·** *ἐλογισάμην*, *λογίζομαι* = λογαριάζω.
**πορθμεὺς** *-έως* ὁ· ὁ λεμβοῦχος ποὺ περνᾷ τοὺς ἄλλους, ἀπὸ τὴν μίαν ὄχθην εἰς τὴν ἄλλην. Ἐδῶ πορθμεὺς εἶναι ὁ Χάρων.
**αὖθις** = πάλιν.
**ἐρίζω** = φιλονικῶ.
**ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα** = σοῦ ἔφερα μίαν ἄγκυραν, ποὺ μοῦ παρήγγειλες.
**πέντε δραχμῶν** = ἀντὶ πέντε δραχμῶν.
**πολλοῦ λέγεις** = πολλὰ λὲς (δηλ. ἀκριβὰ τὴν ἀγόρασες).
**Ἀιδωνεὺς** = Ἅδης.
**τῶν πέντε ἐπριάμην** = πέντε δραχμὰς τὴν ἀγόρασα.
**τίθει** = βάλε.
**ἀκέστρα ὑπὲρ τοῦ ἱστίου** = σακκορράφα γιὰ τὸ πανί.
**ἐπιπλάσαι·** *ἐπέπλασα*, *ἐπιπλάττω* = πλάθω, βουλλώνω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τοῦ σκαφιδίου τὰ ἀνεῳγότα** = τὶς χαραμάδες τῆς βάρκας· *ἀνεωγότα· ἀνέωγα·* παρακ. τοῦ *ἀνοίγω.*

**ἧλος** ὁ = καρφί.

**καλῴδιον** = παλαμάρι.

**ἄξια ταῦτα ἐπρίω** = φθηνὰ τὰ ἀγόρασες.

**εἰ μή τι ἄλλο ἡμᾶς διέλαθε** = ἂν δὲν ἐλησμονήσαμεν τίποτε ἄλλο.

**ἐν τῷ λογισμῷ** = εἰς τὸν λογαριασμόν.

**φὴς** = λέγεις, τοῦ ρ. *φημί.*

**λοιμὸς** ὁ = ἐπιδημικὴ νόσος.

**ἐνέσται** = θὰ εἶναι δυνατόν.

**ἀποκερδᾶναι** = νὰ κερδίσω περισσότερα.

**παραλογιζόμενος τὰ πορθμεῖα** = λογαριάζων περισσότερα πορθμεῖα, δηλ. ἐξαπατῶν τοὺς νεκρούς.

**καθεδοῦμαι·** μέλλ. τοῦ *καθέζομαι* = κάθημαι.

**τὰ κάκιστα... γενέσθαι** = νὰ γίνουν τὰ μεγαλύτερα κακά.

**ὡς ἄν... ἀπολάβοιμι** = ὥστε νὰ λάβω τὰ ὀφειλόμενα.

**οὐκ ἔστιν ἄλλως** = δὲν ἠμπορεῖ νὰ γίνῃ διαφορετικά.

**παρατείνοιτο... τὸ ὄφλημα** = ἀναβάλλεται ἡ ἐξόφλησις τοῦ χρέους.

## 2. Διογένους καὶ Πολυδεύκους.

**Διογένης·** κυνικὸς φιλόσοφος. Οἱ κυνικοὶ φιλόσοφοι περιεφρόνουν τὸν πλοῦτον καὶ τὰ ἀξιώματα, ἔζων δὲ λιτότατα καὶ ἐνεδύοντο πενιχρότατα.

**Μένιππος·** ἐπίσης κυνικὸς φιλόσοφος, μεταγενέστερος τοῦ Διογένους.

**Πολυδεύκης·** ἀδελφὸς τοῦ Κάστορος· οὗτοι ἀποθανόντες καὶ εἰς τὸν Ἅδην κατελθόντες ἐπανήρχοντο εἰς τὴν ζωὴν ἐναλλὰξ ἀνὰ μίαν ἡμέραν.

**ἐντέλλομαι** = παραγγέλλω.

**ἐπειδὰν τάχιστα ἀνέλθῃς** = εὐθὺς ὡς ἀναβῇς.

**σὸν γάρ ἐστιν** = διότι σειρά σου εἶναι.

**ἀναβιῶναι·** *ἀνεβίων*, ἀόρ. τοῦ *ἀναζῶ* = ἐπανέρχομαι εἰς τὴν ζωήν.

**Κράνειον** = γυμναστήριον εἰς τὴν ἀρχαίαν Κόρινθον, ὅπου οἱ φιλόσοφοι ἔκαμνον τὰς διδασκαλίας των εἰς τοὺς νέους.

**Λύκειον·** γυμναστήριον εἰς τὰς ἀρχαίας Ἀθήνας, ὅπου καὶ ἄλλοι φιλόσοφοι καὶ μάλιστα ὁ Ἀριστοτέλης ἔκαμνε τὴν διδασκαλίαν του.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**καταγελῶ** ( *-άω* ) = περιπαίζω.
**εἴ σοι... καταγεγέλασται** = ἂν ἀρκετὰ ἔχῃς ἐμπαίξει τὰ ἐπὶ τῆς γῆς.
**ἐνθάδε** = ἐδῶ εἰς τὸν Ἅδην.
**ἐπιγελασάμενον·** *ἐπιγελάσομαι* μέλλ. τοῦ *ἐπιγελῶ* = ἐμπαίζω.
**διαγιγνώσκομαι** = γνωρίζομαι.
**ἐμπλησάμενον·** *ἐνεπλησάμην, ἐμπίμπλαμαι* = γεμίζω
**θέρμοι** οἱ = βρεχτοκούκκια.
**τρίοδος** ἡ = σταυροδρόμι.
**Ἑκάτης δεῖπνον·** εὐτελῆ ἐδέσματα, τὰ ὁποῖα παρετίθεντο χάριν τῶν πτωχῶν εἰς τὰς τριόδους.
**Ὅπως δὲ εἰδῶ.. τὴν ὄψιν;** = Καὶ διὰ νὰ τὸν ἀναγνωρίσω καλά, (εἰπέ μου) ποῖον εἶναι τὸ ἐξωτερικόν του;
**τριβώνιον... πολύθυρον** = ἔνδυμα μὲ πολλὲς τρῦπες.
**ἅπαντι ἀνέμῳ ἀναπεπταμένον** = ἀνοικτὸν εἰς κάθε ἄνεμον.
**τὰ πολλὰ** = ὡς ἐπὶ τὸ πλεῖστον, συνήθως.
**ἐπισκώπτω·** *σκώπτω* = ἐμπαίζω.
**Βούλει** = θέλεις, δέχεσαι.
**ἐντείλωμαι·** *ἐνετειλάμην, ἐντέλλομαι.*
**παρεγγυῶ** ( *-άω* ) = προτρέπω.
**παύσασθαι αὐτοῖς... ληροῦσι καὶ παραπαίουσι** = νὰ παύσουν ἀπὸ τοῦ νὰ ἀνοηταίνουν καὶ νὰ πλανῶνται.
**φήσουσι·** *φήσω* μέλλ. τοῦ *φημί.*
**τάλαντα ἐπὶ ταλάντοις συντιθέντες** = δημιουργοῦντες περιουσίαν ἐκ πολλῶν ταλάντων.
**ἕνα ὀβολὸν ἔχοντας·** ἐννοεῖται ὁ ὀβολός, τὸν ὁποῖον οἱ ἀρχαῖοι ἔθετον εἰς τὴν χεῖρα τοῦ νεκροῦ, ἵνα δώσῃ αὐτὸν εἰς τὸν Χάρωνα ὡς πορθμεῖα.
**εἰρήσεται·** τετελ. μέλλ. τοῦ *λέγω* = *ῥηθήσονται.*
**τοῖς καλοῖς** = εἰς τοὺς ὡραίους.
**νεῦρα εὔτονα** = νεῦρα δυνατά.
**πάντα μία ἡμῖν κόνις** = ὅλα αὐτὰ εἰς ἡμᾶς (εἰς τὸν Ἅδην) εἶναι ἀδιακρίτως κόνις (παρῳδία τῆς παροιμίας «πάντα μία Μύκονος»).
**φασὶ** = καθὼς λέγουν.
**ἀχθόμενοι τῷ πράγματι** = λυπούμεν ι, διότι εἶναι πένητες.
**ἰσοτιμία** = ἰσότης.
**ἀμείνους·** *ἀμείνων* = ἀνώτερος, καλύτερος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**ἐπιτιμῶ τινι** = ἐπιπλήττω τινά.
**ἐκλελύσθαι αὐτοὺς** = ὅτι αὐτοὶ εἶναι ἐκλελυμένοι, παράλυτοι, ἕνεκα τοῦ πλούτου.
**ἀπένεγκε·** *ἀπήνεγκον*, ἀόρ. τοῦ *ἀποφέρω* = κομίζω, διαβιβάζω.

## 3. Χάρωνος καὶ Μενίππου.

**ἀπόδος·** προστακτ. τοῦ *ἀπέδωκα, ἀποδίδωμι.*
**πορθμεῖα** τὰ = ὁ μισθὸς διὰ τὸ πέρασμα ἀπὸ τὴν μίαν ὄχθην εἰς τὴν ἄλλην.
**ἥδιον·** συγκριτικὸν τοῦ *ἡδέως* = εὐχαρίστως.
**διαπορθμεύω** *τινὰ*=περνῶ κάποιον ἀπὸ τὴν μίαν ὄχθην εἰς τὴν ἄλλην.
**ἄγξω·** *ἄγχω* = πνίγω.
**ἀποδῷς·** ὑποτακτ. τοῦ *ἀπέδωκα, ἀποδίδωμι.*
**πατάξας·** *ἐπάταξα, πατάσσω* = κτυπῶ.
**ἔσῃ πεπλευκώς·** τετελ. μέλλων ἀντὶ παρακειμένου: *πέπλευκας.*
**μάτην·** ἀνωφελῶς, ἀμισθί.
**ὑπὲρ ἐμοῦ σοι ἀποδότω** = ἂς σὲ πληρώσῃ διὰ λογαριασμόν μου.
**νὴ Δί' ὠνάμην γε** κτλ. = μὰ τὴν ἀλήθειαν πολὺ θὰ ὠφελούμην, ἂν πρόκειται νὰ πληρώνω διὰ λογαριασμὸν τῶν νεκρῶν· *ὠνάμην* ἀόρ. τοῦ *ὀνίναμαι* = ὠφελοῦμαι.
**οὐκ ἀποστήσομαί σου** = δὲν θὰ φύγω ἀπὸ κοντά σου.
**νεωλκῶ** *(-έω)* = τραβῶ τὸ πλοῖον εἰς τὴν ἀκτήν.
**πορθμεῖον** = ἡ λέμβος τοῦ πορθμέως.
**οὐκ ᾔδεις ὡς κομίζεσθαι δέον** = δὲν ἤξευρες, ὅτι ἔπρεπε νὰ ἔχῃς (δηλ. ὀβολόν); *κομίζομαί τι* = ἔχω μαζί μου κάτι.
**αὐχήσεις·** *αὐχῶ (-άω)* = καυχῶμαι.
**προῖκα·** ἐπίρρ. = ἀμισθί, δωρεάν.
**ἤντλησα** = ἐτράβηξα τὰ νερά, ποὺ ἔκαμνεν ἡ βάρκα.
**κώπης συνεπελαβόμην** = ἐβοήθησα εἰς τὴν κωπηλασίαν.
**οὐδὲν ταῦτα πρὸς πορθμέα** = αὐτὰ δὲν ἔχουν καμμίαν σχέσιν μὲ τὸν πορθμέα.
**οὐ θέμις ἄλλως γενέσθαι** = δὲν ἠμπορεῖ νὰ γίνῃ διαφορετικά· *θέμις*, γεν. *-ιδος* = δίκαιον, σωστό.
**ἀπάγω** = ὁδηγῶ.
**πληγὴ** = κτύπημα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**Αἰακός·** δικαστὴς εἰς τὸν Ἅδην.
**πήρα** = σάκκος, ταγάρι.
**τῆς Ἑκάτης τὸ δεῖπνον·** βλ. ἀνωτέρω, σελ. 87.
**κύνα·** ὁ Μένιππος ὠνομάζετο *κύων*, ὅπως ὅλοι οἱ κυνικοὶ φιλόσοφοι.
**οἷα καὶ ἐλάλει παρὰ τὸν πλοῦν** = (νὰ ἤξευρες) τί ἔλεγεν, ὅταν ἐταξιδεύαμεν (λέγονται ταῦτα θαυμαστικῶς).
**οἰμώζω** = φωνάζω οἴμοι, ἀλίμονον, θρηνῶ.

## 4. Μενίππου καὶ Ἑρμοῦ.

**οἱ καλοί...** *αἱ καλαί· καλὸς* = ὡραῖος.
**ξενάγησον·** *ξεναγῶ (-έω)* = ὁδηγῶ τινα (ὡς ξένον).
**νέηλυν·** *νέηλυς* γεν. *-υδος* = νεοφερμένος.
**οὐ σχολή μοι** = δὲν ἔχω καιρόν· *σχολὴ* = ἄδεια.
**Ὑάκινθος, Νάρκισσος, Νιρεύς, Ἀχιλλεύς, Τυρώ, Ἑλένη, Λήδα·** μυθολογικὰ πρόσωπα, περίφημα διὰ τὴν ὡραιότητά των.
**σαρκῶν γυμνὰ** = χωρὶς σάρκας.
**ὧν σὺ ἔοικας καταφρονεῖν** = τὰ ὁποῖα σὺ φαίνεται, ὅτι περιφρονεῖς.
**οὐ γὰρ ἂν διαγνοίην** = διότι δὲν ἠμπορῶ νὰ τὴν διακρίνω· *διαγνοίην, διέγνων*, ἀόρ. τοῦ *διαγιγνώσκω*.
**τουτί** = τοῦτο ἐδῶ, αὐτοδά.
**χίλιαι νῆες ἐπληρώθησαν** = χίλια πλοῖα παρεσκευάσθησαν (δηλ. κατὰ τὸν Τρωϊκὸν πόλεμον).
**γεγόνασιν·** τοῦ *γίγνομαι: ἀνάστατος γίγνομαι* = καταστρέφομαι
**ἐπιλεξάμενος·** *ἐπελεξάμην*, τοῦ ρ. *ἐπιλέγομαι* = ἐκλέγω.
**κεῖσο** = ξαπλώσου· τοῦ ρ. *κεῖμαι*.
**τοὺς ἄλλους νεκροὺς μέτειμι** = θὰ ὑπάγω νὰ ἰδῶ τοὺς ἄλλους νεκρούς.

## 5. Νιρέως καὶ Θερσίτου καὶ Μενίππου.

**καλλίων** = ὡραιότερος· θετικὸν *καλός*.
**σοὶ δοκῶ** = σοῦ φαίνομαι.
**εἰδέναι·** ἀπαρεμφ. τοῦ *οἶδα* = γνωρίζω.
**πότερος** = ποῖος ἀπὸ τοὺς δύο, ποῖος.
**Ἓν... τοῦτο ἔχω** = ἕνα τοῦτο ἔχω ἰδικόν μου, μὲ τὸ μέρος μου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**προσειπών·** *προσεῖπον* τοῦ ρ. *προσαγορεύω* = ὀνομάζω.
**φοξὸς** = μὲ μυτερὸ κεφάλι, κρομμυδοκέφαλος.
**ψεδνὸς** = φαλακρός.
**χείρων** = χειρότερος, ἀσχημότερος, θετ. *κακός*.
**ἡγῆ·** *ἡγοῦμαι* = νομίζω.
**κάλλιστος** = ὡραιότατος, θετ. *καλός*.
**ὑπὸ Ἴλιον** = εἰς τὴν Τροίαν.
**ὑπὸ γῆν·** ὑποκάτω τῆς γῆς, εἰς τὸν Ἄδην.
**ταύτῃ μόνον** = κατὰ τοῦτο μόνον.
**εὔθρυπτος** = εὐκολόθραυστος.
**ἀλαπαδνὸς** = ἀδύνατος, ἀσθενής.
**ἐροῦ·** προστακτ. τοῦ ἀορ. *ἠρόμην* τοῦ ρ. *ἐρωτῶ*.
**Ὀνείρατα** = μάταια πράγματα.
**ἴσασιν** = γνωρίζουν, τοῦ *οἶδα*.

## 6. Κατὰ Μενίππου.

**ἀλλοσέ ποι** = κάπου ἀλλοῦ.
**κατάστησον·** *κατέστησα*, *καθίστημι* = τοποθετῶ.
**Τί ὑμᾶς δεινὸν ἐργάζεται** = τί κακὸν σᾶς κάμνει.
**ὁμόνεκρος ὢν** = ἀφοῦ εἶναι νεκρὸς ὅπως καὶ σεῖς.
**μεμνημένοι τῶν ἄνω** = ἐνθυμούμενοι τὰ ἀγαθά, τὰ ὁποῖα εἴχομεν εἰς τὸν ἄνω κόσμον.
**Μίδας·** βασιλεὺς τῶν Φρυγῶν, οὐδὲν ἄλλο ἐπιθυμήσας ἐν τῷ κόσμῳ εἰμὴ μόνον χρυσόν.
**Σαρδανάπαλλος·** βασιλεὺς τῶν Ἀσσυρίων, διαβόητος διὰ τὴν πολυδάπανον δίαιταν.
**Κροῖσος·** βασιλεὺς τῶν Λυδῶν, περίφημος διὰ τοὺς ἀπείρους θησαυρούς του.
**οὐ φέρομεν... παροικοῦντα** = δὲν τὸν ὑποφέρομεν νὰ κατοικῇ πλησίον μας.
**χρυσίον** = τὰ ἐκ χρυσοῦ σκεύη, τὸ χρυσάφι.
**τρυφὴ** = καλοπέρασι.
**ἐπιγελῶ** = ἐμπαίζω.
**ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς** = μᾶς ἐνοχλεῖ, ὅταν οἰμώζωμεν, ὅταν θρηνοῦμεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

**τηλικοῦτον** = τόσον πολύ.
**διαφέρω** = ὑπερέχω.
**ἡλίκον** = ὅσον.
**καὶ ὅλως λυπηρός ἐστιν** = καὶ ἐν γένει εἶναι ἐνοχλητικός.
**Τί ταῦτά φασιν ;** = τί εἶναι αὐτὰ ποὺ λέγουν;
**ὀλέθριος·** ποὺ προκαλεῖ ὄλεθρον, κακός.
**ἀπέχρησε·** *ἀποχρῶ ( -ήω )* = εἶμαι ἀρκετός, φθάνω.
**βιῶναι·** *ἐβίων* ἀόρ. τοῦ ζῶ.
**τοιγαροῦν** = λοιπόν.
**ἀνιῶ** *( -άω ) τινα* = κάμνω τινὰ νὰ λυπηθῇ, στενοχωρῶ.
**ὕβρις** = περιφρόνησις, ὀνειδισμός.
**μωραίνω** = εἶμαι ἀνόητος.
**ὁμόψηφος** = σύμφωνος.
**στασιάζω** = μαλώνω.
**οὕτω γιγνώσκετε** = αὐτὴν τὴν γνώμην νὰ ἔχετε.
**ἔνθα ἂν ἴητε** = ὁπουδήποτε μεταβῆτε.
**ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες** = κολακεύοντες τὸν ἑαυτόν σας εἰς βάρος ἐλευθέρων ἀνθρώπων.
**μνημονεύω** = λαμβάνω ὑπ' ὄψιν μου.
**πάντων ἐκείνων ἀφῃρημένοι** = χωρὶς νὰ ἔχετε τίποτε ἀπὸ ἐκεῖνα.
**πολλάκις συνείρων** = πολλάκις ἐπαναλαμβάνων.
**ἐπᾴσομαι ὑμῖν** = θὰ συμπληρώνω τὰς οἰμωγάς σας· τοῦ ρ. ἐπᾴδω.
**πρέποι γὰρ ἂν** = διότι ἁρμόζει, ταιριάζει.
**ἐπᾳδόμενον** = προστιθέμενον (ὡς συμπλήρωμα, ὡς ἐπῳδός).

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

# ΠΕΡΙΕΧΟΜΕΝΑ

## I. ΑΙΣΩΠΕΙΟΙ ΜΥΘΟΙ

Σελ.
ΠΕΡΙ ΤΟΥ ΑΙΣΩΠΟΥ 7

Σελ.
1. Ἀλώπηξ καὶ βότρυες ........ 9
2. Ὄνος καὶ λεοντῆ ................ 9
3. Λύκος καὶ λέων .................. 9
4. Λαγωοὶ καὶ ἀλώπεκες .......... 10
5. Ζεὺς καὶ ὄφις ...................... 10
6. Χελώνη καὶ λαγωὸς ........... 10
7. Ναυαγὸς ........................ 10
8. Πῆραι δύο ........................ 10
9. Κολοιὸς καὶ γλαῦξ ............. 11
10. Κομπαστὴς ........................ 11
11. Κόραξ καὶ ἀλώπηξ ............. 11
12. Λέων καὶ ἄρκτος ................ 12
13. Λέων καὶ μῦς .................... 12
14. Λέων καὶ ἀλώπηξ ............. 12
15. Λέων, λύκος καὶ ἀλώπηξ ...... 13
16. Γεωργοῦ παῖδες ................ 13
17. Ὁδοιπόροι καὶ πλάτανος ...... 14
18. Παῖς ψεύστης .................. 14
19. Ὁδοιπόρος καὶ ἄρκτος ........ 14

## II. ΕΚ ΤΗΣ ΑΠΟΛΛΟΔΩΡΟΥ ΒΙΒΛΙΟΘΗΚΗΣ

ΠΕΡΙ ΤΟΥ ΑΠΟΛΛΟΔΩΡΟΥ 19

### Α΄. Ἐκ τῆς Θεογονίας καὶ Κοσμογονίας.

1. Οὐρανὸς καὶ Γῆ ............... 21
2. Κρόνος καὶ Ῥέα .................. 22
3. Γέννησις τοῦ Διὸς ............. 22
4. Ζεὺς καὶ Τιτανομαχία .......... 22
5. Γιγαντομαχία .................... 23
6. Προμηθεὺς ....................... 23
7. Δευκαλίων καὶ κατακλυσμὸς .. 24
8. Ἕλληνες .......................... 25
9. Ἡ Δημήτηρ ἐν Ἐλευσῖνι ...... 25

### Β΄. Ἡρακλῆς.

1. Γέννησις Ἡρακλέους .......... 27
2. Μανία Ἡρακλέους ............. 28
3. Ὁ Νεμεαῖος λέων ............... 28
4. Ἡ Λερναία ὕδρα ................ 28
5. Ἡ χρυσόκερως ἔλαφος .......... 29
6. Ὁ Ἐρυμάνθιος κάπρος ........ 29
7. Ἡ κόπρος τῶν βοσκημάτων τοῦ Αὐγείου .................... 30
8. Αἱ Στυμφαλίδες ὄρνιθες ........ 30
9. Ὁ Κρὴς ταῦρος ................. 31
10. Αἱ Διομήδους ἵπποι .......... 31
11. Ὁ ζωστὴρ τῆς Ἱππολύτης .... 32
12. Αἱ βόες τοῦ Γηρυόνου ........ 32
13. Τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων ........................ 33
14. Ὁ Κέρβερος ..................... 34
15. Ἡρακλῆς καὶ Δηιάνειρα ........ 34
16. Θάνατος Ἡρακλέους .......... 35

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

### Γ΄. Ἀργοναυτικὴ Ἐκστρατεία.

Σελ.

1. Ἰνὼ ἐπιβουλεύει τῷ Φρίξῳ καὶ τῇ Ἕλλῃ ........................ 36
2. Φρῖξος ἀφικνεῖται εἰς Κόλχους 37
3. Πελίας πέμπει Ἰάσονα ἐπὶ τὸ χρυσοῦν δέρας .................. 37
4. Ἰάσων παρασκευάζεται πρὸς ἀπόπλουν ........................ 38
5. Ὁ μάντις Φινεὺς ἀπαλλάσσεται τῶν Ἁρπυιῶν .................. 38
6. Ἡ Ἀργὼ διαπλέει τὸν πόρον τῶν συμπληγάδων πετρῶν 39
7. Ἰάσων λαμβάνει τὸ δέρας .... 39

## III. ΕΚ ΤΗΣ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

ΠΕΡΙ ΤΟΥ ΑΙΛΙΑΝΟΥ 43

1. Ἀρταξέρξης καὶ Ὠμίσης .... 45
2. Θράσυλλος ὁ Αἰξωνεὺς ........ 45
3. Φερενίκη Ὀλύμπια θεᾶται .... 46
4. Οἱ τῶν Ἑλλήνων ἄριστοι .... 46
5. Αἱ Λακεδαιμονίων μητέρες .... 46
6. Κρητῶν νόμος .................. 47
7. Λακωνικοὶ νόμοι .............. 47
8. Νόμος Ἀττικὸς ................ 47
9. Αἰνείου εὐσέβεια .............. 48
10. Τίτορμος καὶ Μίλων .......... 48

## IV. ΕΚ ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ ΝΕΚΡΙΚΩΝ ΔΙΑΛΟΓΩΝ

ΠΕΡΙ ΤΟΥ ΛΟΥΚΙΑΝΟΥ 53

1. Ἑρμοῦ καὶ Χάρωνος .......... 55
2. Διογένους καὶ Πολυδεύκους .. 56
3. Χάρωνος καὶ Μενίππου ...... 58
4. Μενίππου καὶ Ἑρμοῦ .......... 59
5. Νιρέως καὶ Θερσίτου καὶ Μενίππου ............................ 60
6. Κατὰ Μενίππου ................ 61

---

ΣΗΜ. Ἐκ τῶν Αἰσωπείων μύθων οἱ ὑπ' ἀριθ. 17, 18 καὶ 19 ἐλήφθησαν ἐκ τῶν Ἐκλογῶν τοῦ Κ. Χαραλαμποπούλου, πᾶσα δὲ ἡ λοιπὴ ὕλη τοῦ παρόντος βιβλίου ἐλήφθη ἐκ τῶν Ἐκλογῶν τοῦ Βασ. Φάβη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἐτυπώθη εἰς τὸ Ἐργοστάσιον Γραφικῶν Τεχνῶν τοῦ ΑΡΧΑΙΟΥ ΕΚΔΟΤΙΚΟΥ ΟΙΚΟΥ ΔΗΜΗΤΡΙΟΥ ΔΗΜΗΤΡΑΚΟΥ Α.Ε. τὸν Δεκέμβριον 1938

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής



Θεματικής Πολιτικής

ΟΡΓΑΝΙΣΜΟΣ ΕΚΔΟΣΕΩΣ ΣΧΟΛΙΚΩΝ ΒΙΒΛΙΩΝ

ΔΙΑ ΤΗΝ ΠΕΡΙΦΕΡΕΙΑΝ ΔΙΟΙΚΗΣΕΩΣ ΠΡΩΤΕΥΟΥΣΗΣ

ΔΡΧ. 20

ΔΙΑ ΤΑΣ ΕΠΑΡΧΙΑΣ

ΔΡΧ. 22

ΒΙΒΛΙΟΠΩΛΕΙΟΝ "ΕΣΤΙΑΣ" Ι. Δ. ΚΟΛΛΑΡΟΥ & ΣΙΑΣ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής